UBi cognovissem charitatem vestram secundùm Deum admodùm bene ordinatam, exultans in fide *Iesu Christi* alloqui vos decrevi. Dignus enim habitus nomine majestatem divinam maximè præ se ferente, laudo, in his quæ circumfero vinculis, Ecclesias: quibus opto unionem secundùm carnem & spiritum *Iesu Christi* (sempiternæ nostræ vitæ) fidei & charitatis (cui nihil præfertur) principaliùs autem *Iesu* & Patris; in quo sustinentes omnes insultus violentos Principis seculi hujus, & evadentes, Deo potiemur.

Quoniam itaque dignus fui videre vos per *Damam* Episcopum vestrum Deo dignum, & dignos Presbyteros *Bassum* & *Apollonium*, & conservum meum *Sotionem* Diaconum, quo utinam fruar; quia subditus est Episcopo ut

gratiæ Dei, & Presbyterio ut legi *Iesu Christi*.

Sed & vos decet non nimiùm familiariter uti ætate Episcopi, sed secundùm virtutem Dei Patris omnem impertiri illi reverentiam, quemadmodum novi sanctos facere Presbyteros: non præoccupato animo respicientes ad apparentem juvenilem ordinationem, sed ut prudentes in Deo cedentes ipsi; non ipsi autem sed Patri *Iesu Christi* omniū Episcopo. In honorem igitur illius, hoc volentis, decet vos obedire sine ullâ hypocrisi: quia nequaquàm Episcopū hunc quis fallit qui videtur, sed illudit invisibili. Quicquid verò est ejusmodi, non ad carnem refertur, sed ad Deum abscondita scientem.

Decet itaque non modò vocari Christianos, sed etiam esse: quemadmodum nonnulli Episcopum quidem nominant, sed sine ipso omnia faciunt. Tales verò non bonâ conscientiâ mihi præditi esse videntur; quia non stabiliter secundùm præceptum congregantur.

Quia igitur res finem habent: incumbunt duo simul, mors & vita; & unusquisque in proprium locum iturus est. Quemadmodum enim sunt numismata duo, alterum quidem Dei, alterum autem Mundi: unumquodque etiam ipsorum characterem proprium habet impositum, infideles Mundi hujus, fideles autem in charitate characterem Dei Patris per *Iesum Christum*. Per quem,

χάριτι Θεοῦ, καὶ τῷ πρεσβυτερίῳ ὡς νόμῳ Ἰησοῦ Χριστοῦ.

Καὶ ὑμῖν δὲ πρέπει μὴ [b] συγχρᾶσθαι τῇ ἡλικίᾳ τοῦ ἐπισκόπου, ἀλλὰ κατὰ δύναμιν Θεοῦ πατρὸς πᾶσαν ἐντροπὴν αὐτῷ ἀπονέμειν, καθὼς ἔγνων καὶ τοὺς ἁγίους πρεσβυτέρους, οὐ [c] προσειληφότας τὴν φαινομένην νεωτερικὴν τάξιν, ἀλλ' ὡς φρονίμους ἐν Θεῷ συγχωροῦντας αὐτῷ. οὐκ αὐτῷ δὲ, ἀλλὰ τῷ πατρὶ Ἰησοῦ Χριστοῦ τῷ πάντων ἐπισκόπῳ. Εἰς τιμὴν οὖν ἐκείνου τοῦ θελήσαντος ὑμᾶς πρέπον ἐστὶν ἐπακούειν κατὰ μηδεμίαν ὑπόκρισιν. ἐπεὶ οὐχ ὅτι τὸν ἐπίσκοπον τοῦτον τὸν βλεπόμενον πλανᾷ τις, ἀλλὰ τὸν ἀόρατον παραλογίζεται. τὸ δὲ τοιοῦτον, οὐ πρὸς σάρκα ὁ λόγος, ἀλλὰ πρὸς Θεὸν, τὸν τὰ κρύφια εἰδότα.

[b] καταχρᾶσθαι Inn.

[c] προσειληφότας. Inn.

Πρέπον οὖν ἐστι μὴ μόνον καλεῖσθαι χριστιανοὺς, ἀλλὰ καὶ εἶναι, ὥσπερ καί τινες ἐπίσκοπον μὲν καλοῦσιν, χωρὶς δὲ αὐτοῦ πάντα πράσσουσιν. οἱ τοιοῦτοι δὲ οὐκ εὐσυνείδητοί μοι εἶναι φαίνονται, διὰ τὸ μὴ βεβαίως κατ' ἐντολὴν [d] συναθροίζεσθαι.

[d] γρ. συναθροίσεσθαι.

Ἐπεὶ οὖν τέλος τὰ πράγματα ἔχει, ἐπίκειται τὰ δύο ὁμοῦ, ὅ τε θάνατος, καὶ ἡ ζωὴ, καὶ ἕκαστος εἰς τὸν ἴδιον τόπον μέλλει χωρεῖν. ὥσπερ γάρ ἐστιν νομίσματα δύο, τὸ μὲν Θεοῦ, τὸ δὲ κόσμου, καὶ ἕκαστον αὐτῶν ἴδιον χαρακτῆρα ἐπικείμενον ἔχει, οἱ ἄπιστοι τοῦ κόσμου τούτου, οἱ δὲ πιστοὶ ἐν ἀγάπῃ χαρακτῆρα Θεοῦ πατρὸς διὰ Ἰησοῦ Χριστοῦ,

δι᾽ οὗ ἐὰν μὴ αὐθαιρέτως [e] ἔχωμεν τὸ ἀποθανεῖν εἰς τὸ αὐτοῦ πάθος, τὸ ζῆν αὐτοῦ οὐκ ἔστιν ἐν ἡμῖν.

e γρ. ἔχομεν τὸ ἐπιθανεῖν

Ἐπεὶ οὖν ἐν τοῖς προγεγραμμένοις προσώποις τὸ πᾶν πλῆθος ἐθεώρησα ἐν πίστει καὶ [f] ἀγάπῃ. παραινῶ ἐν ὁμονοίᾳ Θεοῦ σπουδάζετε πάντα πράσσειν, προκαθημένου τοῦ ἐπισκόπου εἰς τόπον Θεοῦ, καὶ τῶν πρεσβυτέρων εἰς τόπον συνεδρίου τῶν ἀποστόλων, καὶ τῶν διακόνων, τῶν ἐμοὶ γλυκυτάτων, πεπιστευμένων διακονίαν Ἰησοῦ Χριστοῦ, ὃς πρὸ αἰώνων παρὰ πατρὶ ἦν, καὶ ἐν τέλει ἐφάνη. πάντες οὖν ὁμοήθειαν Θεοῦ λαβόντες, ἐντρέπεσθε ἀλλήλοις, καὶ μηδεὶς κατὰ σάρκα [g] βλεπέτω τὸν πλησίον, ἀλλ᾽ ἐν Ἰησοῦ Χριστῷ ἀλλήλους διαπαντὸς ἀγαπᾶτε. μηδὲν ἔστω ἐν ὑμῖν ὃ δυνήσεται ὑμᾶς μερίσαι, ἀλλ᾽ ἑνώθητε τῷ ἐπισκόπῳ, καὶ τοῖς προκαθημένοις εἰς [h] τύπον καὶ διδαχὴν ἀφθαρσίας.

f γρ. ἀγάπησα,

g γρ. κλεπτέτω

h γρ. τόπον

Ὥσπερ οὖν ὁ κύριος ἄνευ τοῦ πατρὸς οὐδὲν ἐποίησε, ἡνωμένος ὤν, οὔτε δι᾽ ἑαυτοῦ, οὔτε διὰ τῶν ἀποστόλων, οὕτως μηδὲ ὑμεῖς ἄνευ τοῦ ἐπισκόπου, καὶ τῶν πρεσβυτέρων, μηδὲν πράσσετε. μηδὲ πειράσητε εὔλογόν τι φαίνεσθαι ἰδίᾳ ὑμῖν. ἀλλ᾽ ἐπὶ τὸ αὐτὸ μία προσευχή, μία δέησις, εἷς νοῦς, μία ἐλπὶς, ἐν ἀγάπῃ, ἐν τῇ χαρᾷ τῇ ἀμώμῳ. εἷς ἐστιν Ἰησοῦς Χριστὸς οὗ ἄμεινον οὐδέν ἐστιν. πάντες οὖν ὡς εἰς [ἕνα] ναὸν συντρέχετε Θεοῦ, ὡς ἐπὶ ἓν θυσιαστήριον, ὡς ἐπὶ ἕνα Ἰησοῦν Χριστὸν τὸν ἀφ᾽ ἑνὸς πατρὸς προελ-

nisi propensa nobis voluntas mori ad exemplum passionis ejus; nec vita ipsius in nobis erit.

Quandoquidem itaque in iis personis quas commemoravi, omnem multitudinem fidelium contemplatus sum in fide & charitate; hortor ut hoc sit omnibus studium, in Dei concordiâ omnia agere, Episcopo præsidente Dei loco, Presbyteris loco Senatus Apostolici, Diaconis mihi suavissimis, ut iis quibus commissum est ministerium *Jesu Christi*; qui ante secula apud Patrem fuit, & in fine apparuit. Omnes igitur simul divinos mores induentes, vos mutuò revereamini: & nemo secundùm carnem spectet proximum; sed in *Iesu Christo* vos invicem semper diligite. Nihil sit in vobis quod possit vos dirimere, sed uniamini Episcopo & præsidentibus, in typum & doctrinam incorruptionis.

Quemadmodum igitur Dominus sine Patre nihil fecit, ipsi unitus, neque per seipsum neque per Apostolos; ita neque & vos sine Episcopo & Presbyteris quicquam agite. Neque operam detis ut aliquid vobis seorsim rationi videatur consentaneum; sed in unum convenientibus, una sit oratio, una deprecatio, una mens, una spes in charitate, in gaudio inculpato. Unus est *Iesus Christus*, quo nihil præstantius est. Omnes itaque velut in unum templum Dei concurrite, velut ad unum altare, velut ad unum *Iesum Christum* ab uno Patre exeuntem, &

in

in unum existentem & revertentem.

Ne patiamini vos seduci falsis doctrinis, neque veteribus fabulis, quæ sunt inutiles. Si namque adhuc juxta legem *Iudaicam* vixerimus, agnoscimus nos gratiam non accepisse. Divinissimi namque Prophetæ juxta *Christum Iesum* vixerunt, & ob hoc persecutionem passi sunt, gratiâ ipsius inspirati, ut certi redderentur increduli, quòd unus Deus est qui seipsum manifestavit per *Iesum Christum* filium suum: qui est Verbum ipsius æternum, non à silentio procedens; qui in omnibus ei complacuit qui ipsum miserat.

Si igitur in vetustis rebus versati, ad novitatem spei venerunt, non ampliùs *Sabbatum* colentes, sed juxta *Dominicam* vitam agentes, in quâ & vita nostra exorta est per ipsum & mortem ipsius, quem quidam negant: (per quod mysterium fidem accepimus; & propter hoc sustinemus, ut inveniamur discipuli *Iesu Christi*, solius Doctoris nostri:) quomodo nos poterimus vivere sine ipso? cujus etiam Prophetæ discipuli cùm essent, spiritu ipsum ut Doctorem exspectabant: & propter hoc, is quem illi justè præstolabantur, suscitavit ipsos ex mortuis.

Ne igitur nullus nos tangat sensus benignitatis ipsius. Si enim nos æstimet secundùm ea quæ facimus; jam periimus. Propterea, discipuli ejus effecti, discamus secundùm Christianismum vivere.

θόντα, καὶ εἰς ἕνα ὄντα καὶ χωρήσαντα.

Μὴ πλανᾶσθε ταῖς ἑτεροδοξίαις, μηδὲ μυθεύμασιν τοῖς παλαιοῖς ἀνωφελέσιν οὖσιν. εἰ γὰρ μέχρι νῦν κατὰ νόμον [i] Ἰουδαϊσμὸν ζῶμεν, ὁμολογοῦμεν χάριν μὴ εἰληφέναι. οἱ γὰρ θειότατοι προφῆται κατὰ Χριστὸν Ἰησοῦν ἔζησαν. διὰ τοῦτο καὶ ἐδιώχθησαν, ἐμπνεόμενοι ὑπὸ τῆς χάριτος αὐτοῦ, εἰς τὸ πληροφορηθῆναι τοὺς ἀπειθοῦντας, ὅτι εἷς Θεός ἐστιν ὁ φανερώσας ἑαυτὸν διὰ Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ αὐτοῦ, ὅς ἐστιν αὐτοῦ λόγος ἀΐδιος, οὐκ ἀπὸ σιγῆς προελθών, ὃς κατὰ πάντα εὐηρέστησεν τῷ πέμψαντι αὐτόν.

[i] al. Ἰουδαϊκὸν

Εἰ οὖν * οἱ ἐν παλαιοῖς πράγμασιν ἀναστραφέντες εἰς καινότητα ἐλπίδος ἦλθον, μηκέτι σαββατίζοντες, ἀλλὰ κατὰ κυριακὴν ζωὴν ζῶντες, ἐν ᾗ καὶ ἡ ζωὴ ἡμῶν ἀνέτειλεν δι' αὐτοῦ, καὶ τοῦ θανάτου αὐτοῦ, ὅν τινες ἀρνοῦνται, δι' οὗ μυστηρίου ἐλάβομεν τὸ πιστεύειν, καὶ διὰ τοῦτο ὑπομένομεν ἵνα εὑρεθῶμεν μαθηταὶ Ἰησοῦ Χριστοῦ τοῦ μόνου διδασκάλου ἡμῶν· πῶς ἡμεῖς δυνησόμεθα ζῆσαι χωρὶς αὐτοῦ, οὗ καὶ οἱ προφῆται μαθηταὶ ὄντες, τῷ πνεύματι ὡς διδάσκαλον αὐτὸν προσεδόκουν; καὶ διὰ τοῦτο, ὃν δικαίως ἀνέμενον, παρὼν ἤγειρεν αὐτοὺς ἐκ νεκρῶν.

* *Iudæi, ad Christianismum conversi.*

Μὴ οὖν ἀναισθητῶμεν τῆς χρηστότητος αὐτοῦ. ἂν γὰρ ἡμᾶς [k] μιμήσηται καθὰ πράσσομεν, οὐκ ἔτι ἐσμέν. διὰ τοῦτο μαθηταὶ αὐτοῦ γενόμενοι μάθωμεν κατὰ Χριστιανισμὸν

[k] πημήσηται *Voss.*

ζῆ. ὃς γὰρ ἄλλῳ ὀνόματι καλεῖται πλέον τούτου, οὐκ ἔστιν τοῦ Θεοῦ. ὑπέρθεσθε οὖν τὴν κακὴν ζύμην τὴν παλαιωθεῖσαν καὶ [l] ἐνοξίσασαν, καὶ μεταβάλλεσθε εἰς νέαν ζύμην, ὅ ἐστιν Ἰησοῦς Χριστός. ἁλίσθητε ἐν αὐτῷ, ἵνα μὴ διαφθαρῇ τις ἐν ὑμῖν, ἐπεὶ ἀπὸ τῆς [m] ὀσμῆς ἐλεγχθήσεσθε. ἄτοπόν ἐστιν Χριστὸν Ἰησοῦν καλεῖν, καὶ Ἰουδαΐζειν. ὁ γὰρ χριστιανισμὸς οὐκ εἰς Ἰουδαϊσμὸν ἐπίστευσεν, ἀλλ' Ἰουδαϊσμὸς εἰς Χριστιανισμόν, ὡς πᾶσα γλῶσσα πιστεύσασα εἰς Θεὸν συνήχθη.

[l] Ἀνοξυνθεῖσαν Iun.

[m] χ. ὀσμῆς

Ταῦτα δὲ ἀγαπητοί μου, οὐκ ἐπεὶ ἔγνων τινὰς ἐξ ὑμῶν οὕτως ἔχοντας, ἀλλ' ὡς μικρότερος ὑμῶν, θέλω προφυλάσσεσθαι ὑμᾶς, μὴ ἐμπεσεῖν εἰς τὰ ἄγκιστρα τῆς κενοδοξίας, ἀλλὰ πεπληροφορῆσθαι ἐν τῇ γεννήσει, καὶ τῷ πάθει, καὶ τῇ ἀναστάσει τῇ γενομένῃ ἐν καιρῷ τῆς ἡγεμονίας Ποντίου Πιλάτου, πραχθέντα ἀληθῶς καὶ βεβαίως ὑπὸ Ἰησοῦ Χριστοῦ τῆς ἐλπίδος ἡμῶν. ἧς ἐκτραπῆναι μηδενὶ ὑμῶν γένοιτο.

Ὀναίμην ὑμῶν κατὰ πάντα, ἐάνπερ ἄξιος ὦ. εἰ γὰρ καὶ δέδεμαι, πρὸς ἕνα τῶν λελυμένων ὑμῶν οὐκ εἰμί. οἶδα ὅτι οὐ φυσιοῦσθε, Ἰησοῦν γὰρ Χριστὸν ἔχετε ἐν ἑαυτοῖς. καὶ μᾶλλον ὅταν ἐπαινῶ ὑμᾶς, οἶδα ὅτι ἐντρέπεσθε, ὡς γέγραπται, ὅτι ὁ δίκαιος ἑαυτοῦ κατήγορος.

Σπουδάζετε οὖν βεβαιωθῆναι ἐν τοῖς δόγμασιν τοῦ κυρίου καὶ τῶν ἀποστόλων, ἵνα πάντα ὅσα ποιῆτε κατευοδωθῆτε σαρκὶ καὶ πνεύματι, πίστει, καὶ ἀγάπῃ, ἐν υἱῷ, καὶ πατρὶ,

Abjicite igitur malum fermentum, inveteratum & acidum; & transmutemini in novum fermentum, qui est *Iesus Christus*. Saliamini in ipso, ut non corrumpatur aliquis in vobis; quoniam ab odore redarguemini. Absurdum est *Christum Iesum* profari, & Judaizare. Christianismus enim non in Judaismum, sed Judaismus in Christianismum: ut omnis lingua credens ad Deum aggregaretur.

Hæc autem scribo, dilecti mei, non quòd cognoverim aliquos vestrûm hoc animo affectos esse; sed, ut minor vobis, cupio vobis cautum, ne incidatis in hamos inanis gloriæ: sed ut plenè certiores redderemini eorum quæ in nativitate, & passione, & resurrectione (quæ contigit tempore præfecturæ *Pontii Pilati*) verè & indubitanter gesta sunt à *Jesu Christo*, spe nostrâ; à quâ exorbitare quemquam vestrûm absit.

Fruar vobis per omnia; si quidem dignus sim. Tametsi enim vinctus sum, comparandus tamen uni vestrûm solutorum non sum. Novi quòd in vobis nihil fastus sit; *Iesum* enim *Christum* habetis in vobis ipsis: & magis cùm laudo vos, scio quòd rubore suffundamini; sicut scriptum est, *Iustus accusator est sui ipsius.*

Studete itaque ut confirmemini in dogmatibus Domini & Apostolorum, ut omnia quæ facitis prosperè succedant, & carne & spiritu, fide & charitate, in Filio

&

& Patre & Spiritu sancto, in principio & in fine; cum dignissimo Episcopo vestro, & dignè complexâ spirituali coronâ Presbyterii vestri, & Dei ministris Diaconis. Subjecti estote Episcopo & vobis mutuò, ut *Iesus Christus* Patri (secundùm carnem) & Apostoli *Christo* & Patri & Spiritui: ut unio sit & carnalis & spiritualis.

Cùm sciam vos Deo plenos esse; brevibus cohortatus sum vos. Memores estote mei in orationibus vestris, ut Deum assequar, & Ecclesiæ quæ in *Syriâ* est, unde non sum dignus vocari. Opus enim mihi est unitâ vestrâ in Deo oratione & charitate; ut Ecclesia, quæ in *Syriâ* est, mereatur per Ecclesiam vestram irrorari.

Salutant vos *Ephesii* de *Smyrnâ*, unde hæc scribo vobis, qui præsentes adsunt in Dei gloriam, uti & vos, qui me unâ cum *Polycarpo* recreârunt: & cæteræ Ecclesiæ in honore *Iesu Christi* salutant vos. Valete in concordiâ Dei, spiritum possidentes inseparabilem, qui est *Jesus Christus*.

καὶ ἐν πνεύματι, ἐν ἀρχῇ καὶ ἐν τέλει, μετὰ τοῦ ἀξιοπρεπεστάτου ἐπισκόπου ὑμῶν, καὶ ἀξιοπλόκου πνευματικοῦ στεφάνου τοῦ πρεσβυτερίου ὑμῶν, καὶ τῶν κατὰ Θεὸν διακόνων. ὑποτάγητε τῷ ἐπισκόπῳ καὶ ἀλλήλοις, ὡς Ἰησοῦς Χριστὸς τῷ πατρὶ κατὰ σάρκα, καὶ οἱ ἀπόστολοι τῷ Χριστῷ, καὶ τῷ πατρί, καὶ τῷ πνεύματι, ἵνα ἕνωσις ᾖ σαρκική τε καὶ πνευματική.

Εἰδὼς ὅτι Θεοῦ γέμετε, συντόμως παρεκάλεσα ὑμᾶς. μνημονεύετέ μου ἐν ταῖς προσευχαῖς ὑμῶν ἵνα Θεοῦ ἐπιτύχω, καὶ τῆς ἐν Συρίᾳ ἐκκλησίας, ὅθεν οὐκ ἄξιος εἰμὶ καλεῖσθαι. ἐπιδέομαι γὰρ τῆς ἡνωμένης ὑμῶν ἐν Θεῷ προσευχῆς καὶ ἀγάπης, εἰς τὸ ἀξιωθῆναι τὴν ἐν Συρίᾳ ἐκκλησίαν διὰ τῆς ἐκκλησίας ὑμῶν δροσισθῆναι.

Ἀσπάζονται ὑμᾶς Ἐφέσιοι ἀπὸ Σμύρνης, ὅθεν καὶ γράφω ὑμῖν, παρόντες εἰς δόξαν Θεοῦ, ὥσπερ καὶ ὑμεῖς, οἱ κατὰ πάντα με ἀνέπαυσαν, ἅμα Πολυκάρπῳ ἐπισκόπῳ Σμυρναίων. καὶ αἱ λοιπαὶ δὲ ἐκκλησίαι ἐν τιμῇ Ἰησοῦ Χριστοῦ ἀσπάζονται ὑμᾶς. ἔρρωσθε ἐν ὁμονοίᾳ Θεοῦ, κεκτημένοι n ἀδιάκριτον πνεῦμα, ὅς ἐστιν Ἰησοῦς Χριστός.

n γρ. διάκριτον.

Μαγνησιεῦσιν.

ΤΡΑΛΛΙΑΝΟΙΣ.

ΤΡΑΛΛΙΑΝΟΙΣ.

Ἰγνάτιος ὁ καὶ Θεοφόρος, ἠγαπημένῃ Θεῷ πατρὶ Ἰησοῦ Χριστοῦ ἐκκλησίᾳ ἁγίᾳ, τῇ οὔσῃ ἐν Τράλλεσιν τῆς Ἀσίας, ἐκλεκτῇ, καὶ ἀξιοθέῳ, εἰρηνευούσῃ, ἐν σαρκὶ καὶ αἵματι [καὶ] τῷ πάθει Ἰησοῦ Χριστοῦ, τῆς ἐλπίδος ἡμῶν, ἐν τῇ εἰς αὐτὸν ἀναστάσει. ἣν [καὶ] ἀσπάζομαι ἐν τῷ πληρώματι, ἐν Ἀποστολικῷ χαρακτῆρι, καὶ εὔχομαι πλεῖστα χαίρειν.

Ἄμωμον διάνοιαν, καὶ ἀδιάκριτον ἐν ὑπομονῇ ἔγνων ὑμᾶς ἔχοντας, οὐ κατὰ χρῆσιν ἀλλὰ κατὰ φύσιν, καθὼς ἐδήλωσέν μοι Πολύβιος ὁ ἐπίσκοπος ὑμῶν, ὃς παρεγένετο θελήματι Θεοῦ καὶ Ἰησοῦ Χριστοῦ ἐν Σμύρνῃ, καὶ οὕτως μοι συνεχάρη δεδεμένῳ ἐν Ἰησοῦ Χριστῷ, ὥστε με τὸ πᾶν πλῆθος ὑμῶν ἐν αὐτῷ θεωρῆσαι. ἀποδεξάμενος οὖν τὴν κατὰ Θεὸν εὔνοιαν δι' αὐτοῦ, ἐδόξασα εὑρὼν ὑμᾶς ὡς ἔγνων μιμητὰς ὄντας Θεοῦ.

Ὅτ' ἂν γὰρ τῷ ἐπισκόπῳ ὑποτάσσησθε ὡς Ἰησοῦ Χριστῷ, φαίνεσθέ μοι οὐ κατὰ ἀνθρώπινον ζῶντες, ἀλλὰ κατὰ Ἰησοῦν Χριστὸν, τὸν δι' ἡμᾶς ἀποθανόντα, ἵνα πιστεύσαντες εἰς τὸν θάνατον αὐτοῦ, τὸ ἀποθανεῖν ἐκφύγητε. ἀναγκαῖον οὖν ἐστιν, ὥσπερ ποιεῖτε, ἄνευ τοῦ ἐπισκόπου μηδὲν πράσσειν ὑμᾶς. ἀλλὰ [a] ὑποτάσσεσθε καὶ τῷ πρεσβυτερίῳ, ὡς τοῖς Ἀποστόλοις Ἰησοῦ Χριστοῦ τῆς ἐλπίδος ἡμῶν, ἐν ᾧ διάγοντες εὑρεθησό-

[a] al. ὑποτάσσησθε

AD TRALLIANOS.

IGNATIUS, *qui & Theophorus, dilecta Deo Patri Iesu Christi Ecclesiæ sanctæ quæ est Trallibus Asiæ, electæ & Deo dignæ, pacem habenti in carne & sanguine & passione Iesu Christi, spei nostræ, in eâ quæ in ipsum resurrectione: quam & Apostolico charactere saluto in plenitudine, & opto plurimùm salvere.*

INculpatam mentem & insepa-rabilem in patientiâ cognovi habere vos, non tam usu quàm naturâ quasi insitam: quemadmodum significavit mihi Episcopus vester *Polybius*, qui *Smyrnæ* adfuit, per voluntatem Dei & *Iesu Christi* filii ejus; quique mihi vincto in *Jesu Christo* sic congratulatus est, ut universam multitudinem vestram in eo contemplatus sim. Excipiens enim eam quæ secundùm Deum est benevolentiam, gloriatus sum inveniens vos, ut cognovi, imitatores Dei.

Quum enim Episcopo subjecti estis ut *Iesu Christo*, videmini mihi non secundùm hominem, sed secundùm *Iesum Christum* vivere; qui propter nos mortuus est, ut credentes in mortem ipsius, mori effugiatis. Necessarium itaque est, quemadmodum facitis, ut sine Episcopo nihil agatis. Sed & Presbyterio subditi sitis, ut Apostolis *Iesu Christi*, spei nostræ: in quo conversantes inveniamur. Oportet autem

antem & Diaconos, mysteriorum *Jesu Christi* ministros, omni modo omnibus placere. Non enim ciborum & potuum ministri sunt, sed Ecclesiæ Dei servi. Oportet igitur ut sibi caveant à criminibus, tanquàm ab igne.

Cuncti similiter revereantur Diaconos, ut *Jesum Christum*: quemadmodum & Episcopum, ut Patrem; Presbyteros autem ut consessum Dei & conjunctionem Apostolorum. Sine his Ecclesia non vocatur. Persuasum autem habeo, & vos eo animo affectos esse. Exemplar enim charitatis vestræ accepi, & mecum habeo in Episcopo vestro; cujus ipse habitus magna disciplina est, mansuetudo autem ipsius potentia: quem existimo & impios ipsos revereri. Diligens vos, abstineo vehementiùs scribere, cùm possem super hâc re, prout existimaveram: idcircò, ne in condemnationem incurram, non ut Apostolus vobis præcipio.

Multa sapio in Deo: sed ego meipsum metior, ne gloriando peream. Nunc enim plus mihi timendum est; nec animus illis intendendus, qui frustrà me inflant. Qui enim me laudant, flagellant me. Nam diligo quidem pati: sed nescio, an dignus sum. Invidia quidem [inimici] multis non apparet; sed eo mecum magis bellum gerit. Opus itaque mihi mansetudine, quâ Princeps seculi hujus destruitur.

Nunquid non possum cœlestia vobis scribere? at ne parvulis vo-

μιῶαι. δεῖ δὲ καὶ τοὺς διακόνους ὄντας [b] μυστηρίων Ἰησοῦ Χριστοῦ κατὰ πάντα τρόπον πᾶσιν ἀρέσκειν. οὐ γὰρ βρωμάτων καὶ ποτῶν εἰσὶν διάκονοι, ἀλλ' ἐκκλησίας Θεοῦ ὑπηρέται. δέον οὖν αὐτοὺς φυλάσσεσθαι τὰ ἐγκλήματα ὡς πῦρ.

Ὁμοίως πάντες ἐντρεπέσθωσαν τοὺς διακόνους [c] ὡς Ἰησοῦν Χριστὸν, ὡς καὶ τὸν ἐπίσκοπον, [d] ὄντα υἱὸν τοῦ πατρός. τοὺς δὲ πρεσβυτέρους ὡς συνέδριον Θεοῦ, καὶ ὡς σύνδεσμον ἀποστόλων. χωρὶς τούτων ἐκκλησία οὐ καλεῖται. περὶ ὧν πέπεισμαι ὑμᾶς οὕτως ἔχειν. τὸ γὰρ ἐξεμπλάριον τῆς ἀγάπης ὑμῶν ἔλαβον καὶ ἔχω μεθ' ἐμαυτοῦ ἐν τῷ ἐπισκόπῳ ὑμῶν. οὗ αὐτὸ τὸ * κατάστημα μεγάλη μαθητεία, ἡ δὲ πραότης αὐτοῦ δύναμις. ὃν λογίζομαι καὶ τοὺς ἀθέους ἐντρέπεσθαι. [e] ἀγαπῶντας ὡς οὐ φείδομαι ἑαυτὸν πότερον δυνάμενος γράφειν ὑπὲρ τούτου εἰς τοῦτο ᾠήθην, ἵνα ὢν κατάκριτος ὡς ἀπόστολος ὑμῖν διατάσσωμαι.

Πολλὰ φρονῶ ἐν Θεῷ. ἀλλ' ἐμαυτὸν μετρῶ, ἵνα μὴ ἐν καυχήσει ἀπόλωμαι. νῦν γὰρ με δεῖ πλέον φοβεῖσθαι, καὶ μὴ προσέχειν τοῖς φυσιοῦσίν με. οἱ γὰρ [f] λέγοντές μοι μαστιγοῦσίν με. ἀγαπῶ μὲν γὰρ τὸ παθεῖν, ἀλλ' οὐκ οἶδα εἰ ἄξιός εἰμι. ὁ γὰρ ζῆλος [τοῦ ἐχθροῦ] πολλοῖς μὲν οὐ φαίνεται, ἐμὲ δὲ πλέον πολεμεῖ. χρήζω οὖν πραότητος, ἐν ᾗ καταλύεται ὁ ἄρχων τοῦ αἰῶνος τούτου.

Μὴ οὐ δύναμαι τὰ ἐπουράνια γράψαι; ἀλλὰ φοβοῦμαι μὴ νηπίοις

[b] γρ. μυστήριον

[c] Ἰησοῦ Χριστοῦ, P. Iun.

[d] ὡς τὸν Πατέρα Antiochus, ὄντας υἱοὺς τοῦ πατρὸς, legit Iunius.

* κατάστημα, Tit. 2. 3. est καταστολὴ, 1 Tim. 2. 9.

[e] Ἀγαπῶν ὑμᾶς φείδομαι συντονώτερον γράφειν, δυνάμενος ὑπὲρ τούτου, ὡς ᾠήθην εἰς τοῦτο, ἵνα μὴ ὢν κατάκριτος, οὐχ ὡς ἀπόστολος ὑμῖν διατάσσωμαι. Ita locum corruptissimum, transpositione quarundam vocum, & collatione factâ cum aliis editionibus, restituere conatus est doctissimus Iunius noster.

[f] al. με ἐπαινοῦντες

νηπίοις οὖσιν ὑμῖν βλάβην παραθῶ. καὶ συγγνωμονεῖτέ μοι, μήποτε οὐ δυνηθέντες χωρῆσαι στραγγαλωθῆτε. καὶ γὰρ ἐγὼ οὐ καθότι δέδεμαι, καὶ δυνάμενος [νοεῖν] τὰ ἐπουράνια, καὶ τὰς τοποθεσίας τὰς ἀγγελικὰς, καὶ τὰς συστάσεις τὰς ἀρχοντικὰς, ὁρατά τε καὶ ἀόρατα. παρὰ τοῦτο ἤδη καὶ μαθητής εἰμι. πολλὰ γὰρ [g] ἡμῖν λείπει, ἵνα Θεοῦ μὴ λειπώμεθα.

g γρ. ὑμῶν

Παρακαλῶ οὖν ὑμᾶς, οὐκ ἐγὼ, ἀλλ' ἡ ἀγάπη Ἰησοῦ Χριστοῦ, μόνῃ τῇ χριστιανῇ τροφῇ χρῆσθαι, ἀλλοτρίας δὲ βοτάνης ἀπέχεσθαι, ἥτις ἐστὶν αἵρεσις. οἱ [h] καιροὶ παρεμπλέκουσιν Ἰησοῦν Χριστὸν, καθ' ἀξίαν πιστευόμενοι. ὥσπερ θανάσιμον φάρμακον διδόντες μετ' οἰνομέλιτος, ὅπερ ὁ ἀγνοῶν ἡδέως λαμβάνει ἐν ἡδονῇ [i] κακῇ τὸ ἀποθανεῖν.

h πρόσκαιροι, legendum censet *P. Iunius*: καὶ ἰοῖς, *Is. Vossius.*

i γρ. κακεῖ

Φυλάττεσθε οὖν τοῖς τοιούτοις. τοῦτο δὲ ἔσται ὑμῖν μὴ φυσιουμένοις, καὶ οὖσιν ἀχωρίστοις Θεοῦ, Ἰησοῦ Χριστοῦ, καὶ τοῦ ἐπισκόπου, καὶ τῶν διαταγμάτων τῶν ἀποστόλων. ὁ ἐντὸς θυσιαστηρίου ὢν, καθαρός ἐστιν [ὁ δὲ ἐκτὸς ὢν] τοῦτ' ἐστιν, ὁ χωρὶς ἐπισκόπου καὶ πρεσβυτερίου καὶ [k] διακόνου πράσσων τι, οὗτος οὐ καθαρός ἐστιν τῇ συνειδήσει.

k al. διακόνων

Οὐκ ἐπεὶ ἔγνων τοιοῦτόν τι ἐν ὑμῖν, ἀλλὰ προφυλάσσω ὑμᾶς ὄντας μου ἀγαπητοὺς, προορῶν τὰς ἐνέδρας τοῦ διαβόλου. ὑμεῖς οὖν τὴν πραϋπάθειαν ἀναλαβόντες [l] ἀνακτίσασθε ἑαυτοὺς ἐν πίστει, ὅ ἐστιν σὰρξ τοῦ κυρίου, [καὶ] ἐν ἀγάπῃ, ὅ ἐστιν αἷμα Ἰησοῦ Χριστοῦ. μηδεὶς ὑμῶν [τι] κατὰ τοῦ πλησίου ἐχέτω. μὴ ἀφορμὰς

l ἀνακτήσασθε. *Iun.*

bis obsim metuo (id mihi ignoscite) ne, ista minimè capientes, strangulemini. Etenim ego non quemadmodum vinctus sum, etiam cœlestia intelligere possim, & situs Angelorum, & cœtus Principatuum, visibiliaque & invisibilia. Præter hoc, jam & discipulus sum: multa enim nobis desunt, ne à Deo deseramur.

Obsecro itaque vos (non ego, sed charitas *Iesu Christi*) solo Christiano alimento uti, ab alienâ autem herbâ abstinere, quæ est hæresis. Temporarii *Iesum Christum* amplexantur; qui, ratione dignitatis quam obtinent, fidem adipiscuntur: quemadmodum mortiferum pharmacũ cum mulso dantes; quod qui ignorat, libenter cum voluptate noxiâ mortem accipit.

A talibus igitur vos custodite. Quod fiet, si inflati non fueritis; & indivulsi manseritis à Deo *Iesu Christo*, & Episcopo, & præceptis Apostolorum. Qui intra altare est, mundus est: qui verò foris est, hoc est, qui sine Episcopo & Presbyterio & Diacono quippiam agit, non est mundus in conscientiâ.

Non quòd noverim tale aliquid inter vos: sed quòd præmuniam vos, ut filios meos charissimos, prospiciens insidias Diaboli. Vos itaque mansuetudinem assumentes, recreate vosmetipsos in fide, quod est caro Domini, & in charitate, quod est sanguis *Iesu Christi*. Nullus vestrûm adversùs proximum aliquid habeat. Ne

ansam

ansam detis gentibus, ut propter paucos insipientes ea quæ in Deo est multitudo blasphemetur. *Væ enim ei, per quem in vanitate nomen meum ab aliquibus blasphematur.*

Obturate igitur aures vestras, cùm vobis quispiam loquitur sine *Iesu Christo*, qui ex genere *David*, qui ex *Mariâ*, qui verè natus est, edit & bibit, verè persecutionem passus est sub *Pontio Pilato*, verè crucifixus & mortuus est, videntibus cœlestibus, terrestribus, & subterraneis. qui & verè resurrexit à mortuis, resuscitante ipsum Patre ipsius: secundùm similitudinem quâ & nos, ipsi credentes, ita resuscitabit Pater ipsius in *Christo Iesu*; sine quo veram vitam non habemus.

Si verò ut quidam athei, hoc est, infideles aiunt, ipsum secundùm apparentiam esse passum (ipsi secundùm apparentiam existentes:) ego quid vinctus sum, & opto ut feris objiciar? frustrà morior itaque: mendacia itaque de Domino confingo.

Fugite ergo malas propagines, quæ gignunt mortiferum fructum; quem qui gustârit, continuò moritur. Isti enim non sunt plantatio Patris. Si enim essent; apparerent utique rami Crucis, & esset utique fructus illorum incorruptibilis: per quem, in passione ipsius, invitat vos, qui estis membra ipsius. Non potest igitur caput nasci sine membris; Deo unionem repromittente, quod est ipse.

διδότε τοῖς ἔθνεσιν, ἵνα μὴ δι' ὀλίγους ἄφρονας τὸ ἐν Θεῷ πλῆθος βλασφημῆται. Οὐαὶ γὰρ „ δι' οὗ ἐπὶ ματαιότητι τὸ ὄνομα „ μου ἐπί τινων βλασφημεῖται. „

Κωφώθητε οὖν, ὅταν ὑμῖν χωρὶς Ἰησοῦ Χριστοῦ λαλῇ τις, τοῦ ἐκ γένους Δαβίδ, τοῦ ἐκ Μαρίας, ὃς ἀληθῶς ἐγεννήθη, ἔφαγέν τε καὶ ἔπιεν, ἀληθῶς ἐδιώχθη ἐπὶ Ποντίου Πιλάτου, ἀληθῶς ἐσταυρώθη καὶ ἀπέθανεν, βλεπόντων τῶν ἐπουρανίων, ἐπιγείων, καὶ ὑποχθονίων. ὃς καὶ ἀληθῶς ἠγέρθη ἀπὸ νεκρῶν, ἐγείραντος αὐτὸν τοῦ πατρὸς αὐτοῦ, κατὰ τὸ ὁμοίωμα, ὡς καὶ ἡμᾶς τοὺς πιστεύοντας αὐτῷ οὕτως ἐγερεῖ ὁ πατὴρ αὐτοῦ ἐν Χριστῷ Ἰησοῦ. οὗ χωρὶς τὸ ἀληθινὸν ζῆν οὐκ ἔχομεν.

Εἰ δὲ ὥσπερ τινὲς ἄθεοι ὄντες, τουτέστιν ἄπιστοι, λέγουσιν τὸ δοκεῖν πεπονθέναι αὐτὸν, αὐτοὶ ὄντες τὸ δοκεῖν, ἐγὼ τί δέδεμαι; τί δὲ εὔχομαι θηριομαχῆσαι; δωρεὰν οὖν ἀποθνήσκω. ἄρα [m] οὐ καταψεύδομαι τοῦ κυρίου. [m] οὖν. Voss.

Φεύγετε οὖν τὰς κακὰς παραφυάδας, τὰς γεννώσας καρπὸν θανατηφόρον. οὗ ἐὰν γεύσηταί τις παρ' αὐτὰ ἀποθνήσκει. οὗτοι γὰρ οὐκ εἰσὶν φυτεία πατρός. εἰ γὰρ ἦσαν, ἐφαίνοντο ἂν κλάδοι τοῦ σταυροῦ, καὶ ἦν ἂν ὁ καρπὸς αὐτῶν ἄφθαρτος. δι' οὗ ἐν τῷ πάθει αὐτοῦ προσκαλεῖται ὑμᾶς ὄντας μέλη αὐτοῦ. Οὐ δύναται οὖν κεφαλὴ χωρὶς γεννηθῆναι ἄνευ μελῶν, τοῦ Θεοῦ ἕνωσιν ἐπαγγελλομένου, [n] ὅς ἐστιν αὐτός. [n] οὗ. Voss.

Ἀσπάζομαι ὑμᾶς ἀπὸ Σμύρνης ἅμα ταῖς συμπαρούσαις μου ἐκκλησίαις τοῦ Θεοῦ, οἳ κατὰ πάντα με ἀνέπαυσαν σαρκί τε καὶ πνεύματι. Παρακαλεῖ ὑμᾶς τὰ δεσμά μου ἃ ἕνεκεν Ἰησοῦ Χριστοῦ περιφέρω, αἰτούμενος Θεοῦ ἐπιτυχεῖν· διαμένετε ἐν τῇ ὁμονοίᾳ ὑμῶν, καὶ τῇ μετ' ἀλλήλων προσευχῇ. Πρέπει γὰρ ὑμῖν τοῖς καθ' ἕνα, ἐξαιρέτως καὶ τοῖς πρεσβυτέροις, ἀναψύχειν τὸν ἐπίσκοπον, εἰς τιμὴν Πατρὸς, Ἰησοῦ Χριστοῦ, καὶ τῶν ἀποστόλων. εὔχομαι ὑμᾶς ἐν ἀγάπῃ ἀκοῦσαι μου, ἵνα μὴ εἰς μαρτύριον ὦ ἐν ὑμῖν γράψας. καὶ περὶ ἐμοῦ δὲ προσεύχεσθε, τῆς ἀφ' ὑμῶν ἀγάπης χρήζοντος ἐν τῷ ἐλέει τοῦ Θεοῦ, εἰς τὸ καταξιωθῆναι με τοῦ κλήρου οὗ περίκειμαι ἐπιτυχεῖν, ἵνα μὴ ἀδόκιμος εὑρεθῶ.

Ἀσπάζεται ὑμᾶς ἡ ἀγάπη Σμυρναίων καὶ Ἐφεσίων· μνημονεύετε ἐν ταῖς προσευχαῖς ὑμῶν τῆς ἐν Συρίᾳ ἐκκλησίας, ὅθεν καὶ οὐκ ἄξιός εἰμι λέγεσθαι, ὢν ἔσχατος ἐκείνων. Ἔρρωσθε ἐν Ἰησοῦ Χριστῷ, ὑποτασσόμενοι τῷ ἐπισκόπῳ ὡς τῇ ἐντολῇ, ὁμοίως καὶ τῷ πρεσβυτερίῳ. καὶ οἱ κατ' ἄνδρα ἀλλήλους ἀγαπᾶτε ἐν ἀμερίστῳ καρδίᾳ. P ἀγνίζετε ὑμῶν τὸ ἐμὸν πνεῦμα, οὐ μόνον νῦν, ἀλλὰ καὶ ὅταν Θεοῦ ἐπιτύχω. ἔτι γὰρ ὑπὸ κίνδυνόν εἰμι, ἀλλὰ πιστὸς ὁ πατὴρ ἐν Ἰησοῦ Χριστῷ πληρῶσαι μου τὴν αἴτησιν καὶ ὑμῶν, ἐν ᾧ εὑρεθείητε ἄμωμοι.

P al. Ἀσπάζεται ὑμᾶς

Saluto vos è *Smyrnâ*, unà cum Ecclesiis Dei quæ mecum sunt, quæ prorsus refocillârunt me, & carne & spiritu. Obsecrant vos vincula hæc mea, quæ propter *Iesum Christum* circumfero, orans ut Deum assequar, permanete in concordiâ & oratione mutuâ. Decet enim singulos vestrûm, & præcipuè Presbyteros, refocillare Episcopum; in honorem Patris, *Iesu Christi*, & Apostolorum. Opto ut in charitate me audiatis; ne hæc scribens in testimonium vobis sim. Orate pro me qui, in Dei misericordiâ, charitate vestrâ indigeo, ut dignus fiam sorte, ad quam assequendam jam destinor, ne reprobus inveniar.

Salutat vos charitas *Smyrnaeorum* & *Ephesiorum*. Memores estote in orationibus vestris Ecclesiæ quæ est in *Syriâ*, de quâ non sum dignus qui dicar eorum ultimus. Valete in Domine *Iesu*, subjecti Episcopo, ut [Dei] mandato, & similiter Presbyterio: & sigillatim omnes, alter alterum diligite corde indivulso. Salutat vos meus spiritus, non modò nunc, sed & ubi Deum nactus fuero. Nam etiamnum in periculo versor: sed fidelis est Pater in *Iesu Christo*, ut impleat petitionem meam & vestram; in quo opto ut inveniamini sine maculâ.

Τραλλιανοῖς

AD

AD ROMANOS.

Ignatius, qui & Theophorus, misericordiam consecutus in magnificentiâ altissimi [Dei] Patris, & Jesu Christi unigeniti ejus filii, Ecclesiæ sanctificatæ & illuminatæ, per voluntatem illius qui vult omnia quæ pertinent ad charitatem Jesu Christi Dei nostri; quæ præsidet in loco Romanæ regionis, [Deo digna, decentissima, merito beata, laudatissima, digna quâ quis potiatur, castissima, & excellens in charitate, Christi & Patris nomen ferens.] quam & saluto in nomine Jesu Christi [filii Patris,] quos & spiritu & corpore conjunctos omnibus mandatis ipsius, repletos gratiâ Dei [absque hæsitatione, & repurgatos ab omni alieno colore; plurimùm] in Domino nostro Jesu Christo [immaculatè] gaudere jubeo.

Deprecatus Deum obtinui, ut viderem divinam vestram faciem; [sicut & plurimùm, ut hoc consequerer, expetebam.] Vinctus [enim] in *Christo Iesu*, spero me salutaturum vos, si voluntas sit, ut dignus judicer ad metam pervenire. Exordium enim constitutum est bene, si modò gratiam consequar, ut sortem meam sine impedimento percipiam. Metuo enim charitatem vestram, ne ipsa me lædat. Vobis enim facile est, quod vultis facere; mihi verò difficile est Deum

ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ.

Ἰγνάτιος ὁ καὶ Θεοφόρος, τῇ ἠλεημένῃ ἐν μεγαλειότητι ὑψίστου [Θεοῦ] Πατρὸς, καὶ Ἰησοῦ Χριστοῦ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, ἐκκλησίᾳ ἡγιασμένῃ, καὶ πεφωτισμένῃ ἐν θελήματι τοῦ θελήσαντος τὰ πάντα ἃ ἐστι κατὰ ἀγάπην Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἥτις προκάθηται ἐν τόπῳ χωρίου Ῥωμαίων, [ἀξιόθεος, ἀξιοπρεπὴς, ἀξιομακάριστος, ἀξιέπαινος, ἀξιεπίτευκτος, ἀξίαγνος, καὶ προκαθημένη τῆς ἀγάπης, χριστώνυμος, πατρώνυμος.] ἣν καὶ ἀσπάζομαι ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ [τοῦ υἱοῦ [a] αὐτοῦ,] τοῖς κατὰ σάρκα καὶ πνεῦμα ἡνωμένοις πάσῃ ἐντολῇ αὐτοῦ, πεπληρωμένοις χάριτος Θεοῦ [ἀδιακρίτως, καὶ ἀποδιϋλισμένοις ἀπὸ παντὸς ἀλλοτρίου χρώματος, πλεῖστα] ἐν κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ [ἀμώμως] χαίρειν.

[a] al. Πατρὸς θ

Ἐπευξάμενος τῷ Θεῷ, ἐπέτυχον ἰδεῖν ὑμῶν τὰ ἀξιόθεα πρόσωπα, [[b] ὡς καὶ πλέον ᾐτούμην λαβεῖν.] δεδεμένος [γὰρ] ἐν Χριστῷ Ἰησοῦ, ἐλπίζω ὑμᾶς ἀσπάσασθαι, ἐάνπερ θέλημα ᾖ τοῦ ἀξιωθῆναί με εἰς τέλος [c] εἶναι. ἡ μὲν γὰρ ἀρχὴ εὐοικονόμητός ἐστιν, ἐάνπερ χάριτος ἐπιτύχω, [εἰς τὸ] τὸν κλῆρόν μου ἀνεμποδίστως ἀπολαβεῖν. φοβοῦμαι γὰρ τὴν ἀγάπην ὑμῶν, μὴ αὐτή με ἀδικήσῃ. ὑμῖν γὰρ εὐχερές ἐστιν, ὃ θέλετε ποιῆσαι. ἐμοὶ δὲ δύσκολόν

[b] al. ὡς

[c] fort. ἰέναι. Iun.

ἔσι τοῦ Θεοῦ ἐπιτυχεῖν, ἐάν περ ὑμεῖς [μὴ] φείσησθέ μου.

Οὐ θέλω γὰρ ὑμᾶς ἀνθρωπαρεσκῆσαι, ἀλλὰ Θεῷ ἀρέσαι, ὥσπερ καὶ ἀρέσκετε· οὐ [τι] γὰρ ἐγὼ ἕξω ποτὲ καιρὸν [τοιοῦτον, ὥς τε] Θεοῦ ἐπιτυχεῖν, οὔτε ὑμεῖς [ἐὰν σιωπήσητε, κρείττονι ἔργῳ ἔχετε ἐπιγραφῆναι.] ἐάν [τε γὰρ] σιωπήσητε ἀπ' ἐμοῦ, ἐγὼ γενήσομαι Θεοῦ. ἐὰν δὲ ἐρασθῆτε τῆς σαρκός μου, πάλιν ἔσομαι τρέχων. πλεῖον δέ μοι παρέχεσθε τοῦ σπονδισθῆναι Θεῷ, ὡς ἔτι θυσιαστήριον ἕτοιμόν ἐστιν. ἵνα ἐν ἀγάπῃ χορὸς γενόμενοι, ᾄσητε τῷ Πατρὶ ἐν Χριστῷ Ἰησοῦ, ὅτι τὸν ἐπίσκοπον Συρίας κατηξίωσεν ὁ Θεὸς [d] εὑρεθῆναι εἰς δύσιν, ἀπὸ ἀνατολῆς μεταπεμψάμενος. Καλὸν τὸ δῦναι ἀπὸ κόσμου πρὸς Θεόν, ἵνα εἰς αὐτὸν ἀνατείλω.

d πορευθῆναι, Iun.

Οὐδέποτε ἐβασκάνατε οὐδενί. ἄλλους ἐδιδάξατε. ἐγὼ δὲ θέλω, ἵνα κἀκεῖνα βέβαια ᾖ, ἃ μαθητεύοντες ἐντέλλεσθε. μόνον δύναμιν αἰτεῖσθέ μοι [ἔσωθέν τε καὶ ἔξωθεν,] ἵνα μὴ μόνον [λέγω, ἀλλὰ καὶ θέλω, ὅπως μὴ μόνον] λέγωμαι Χριστιανός, ἀλλὰ καὶ εὑρεθῶ. [ἐὰν γὰρ εὑρεθῶ,] καὶ λέγεσθαι δύναμαι, καὶ τότε πιστὸς εἶναι, ὅταν κόσμῳ μὴ φαίνωμαι. „οὐδὲν φαινόμενον, αἰώνιον. [e] τὰ γὰρ „βλεπόμενα, πρόσκαιρα. τὰ δὲ μὴ „βλεπόμενα, αἰώνια. [οὐ πεισμονῆς τὸ ἔργον, ἀλλὰ μεγέθους ἐστὶν ὁ Χριστιανός, ὅτι ἂν μισῆται ὑπὸ τοῦ κόσμου.]

e Pro loco hoc, 2 Cor. 4. 18. noster vetus Interpres legit. ὁ γὰρ Θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς ἐν πατρὶ ὢν μᾶλλον φαίνεται.

Ἐγὼ γράφω ταῖς ἐκκλησίαις, καὶ ἐντέλλομαι πᾶσιν, ὅτι ἑκὼν ὑπὲρ

assequi, si vos mihi [non] pepercerits.

Nolo autem vos hominibus sed Deo placere, sicut & placetis. Nec enim ego habiturus sum [ejusmodi] occasionem Deum assequendi, nec vos, [si taceatis, præstantiori operi inscribi poteritis.] Si [enim] de me tacueritis, ego Dei fiam : sin autem carnem meam dilexeritis, denuò currendum erit mihi. At vos potiùs operam date, ut immoler Deo; quandoquidem adhuc altare paratum est : ut in charitate chorum constituentes, canatis Patri in *Christo Iesu*, quòd Episcopum *Syriæ* dignatus fuerit hoc modo in occasum descendere, ab Oriente accersitum. Bonum est à mundo occidere ad Deum; ut in ipso exoriar.

Nunquam invidistis cuiquam, alios docuistis. Ego autem volo, ut & illa rata sint quæ docentes præcipitis. Id solùm petite mihi, ut vires [& intùs & foris] suppetant, ut non modò [dicam, sed & velim : ut non solùm] dicar Christianus, sed & inveniar. Si enim inventus fuero, etiam dici potero, & tunc fidelis esse, cùm mundo non apparuero. Nihil perpetuum quod videtur. *Quæ enim videntur, temporalia sunt : quæ autem non videntur, æterna.* [Non persuasionis opus, sed magnitudinis est Christianus; quando utique odio habetur à mundo.]

Ego Ecclesiis scribo, & mando omnibus, quòd voluntarius pro Deo

Deo moriar; si modò vos non prohibueritis. Obsecro vos ne intempestivâ benevolentiâ me complectamini. Sinite me ferarum escam fieri, per quas licebit Deum adipisci. Frumentum sum Dei, dentibus ferarum molor, ut mundus panis Dei inveniar. Immò blanditiis demulcete potiùs feras, ut mihi sepulchrum fiant, & nihil de corpore meo relinquant; ne cùm obdormiero, molestus cuiquam inveniar. Tunc ero verus [*Iesu*] *Christi* discipulus, cùm mundus nec corpus meum viderit. Deprecemini Dominum pro me, ut per hæc instrumenta [Deo] efficiar hostia. Non ut *Petrus* & *Paulus* hæc præcipio vobis. Illi Apostoli; ego condemnatus. Illi liberi; ego etiamnum servus: at si passus fuero, libertus [fiam] *Iesu Christi*, & resurgam [in illo] liber. Nunc vinctus, disco nil [mundanum aut vanum] concupiscere.

A *Syriâ Romam* usque terrâ marique cum bestiis depugno, noctu ac interdiu alligatus decem leopardis (quæ est militaris custodia) qui & beneficio affecti pejores fiunt. At ego eorum injuriis magis erudior. [*Verùm non in hoc justificatus sum.*] Utinam fruar bestiis mihi paratis: quas opto veloces mihi inveniri, quas & blanditiis demulcebo, ut citiùs me devorent (non, ut quosdam, metuentes non attigerunt) sed & si ipsæ aversæ nolint, ego illas vi adigam. Ignoscite mihi: quid mihi utile sit, ego novi. Nunc

Θεοῦ ἀποθνήσκω, ἐάν περ ὑμεῖς μὴ κωλύσητε. Παρακαλῶ ὑμᾶς, μὴ εὔνοια ἄκαιρος γένηθέ μοι. ἄφετέ με θηρίων εἶναι βρῶμα, δι' ὧν ἐστὶ Θεοῦ ἐπιτυχεῖν. σῖτός εἰμι τοῦ Θεοῦ, καὶ δι' ὀδόντων θηρίων ἀλήθομαι, ἵνα καθαρὸς ἄρτος Θεοῦ εὑρεθῶ. μᾶλλον κολακεύσατε τὰ θηρία, ἵνα μοι τάφος γένωνται, καὶ μηδὲν καταλείπωσι τῶν τοῦ σώματός μου, ἵνα μὴ κοιμηθεὶς βαρύς τινι εὑρεθήσομαι· τότε ἔσομαι μαθητὴς ἀληθὴς [Ἰησοῦ] Χριστοῦ, ὅτε οὐδὲ τὸ σῶμά μου ὁ κόσμος ὄψεται. Λιτανεύσατε τὸν Κύριον ὑπὲρ ἐμοῦ, ἵνα διὰ τῶν ὀργάνων τούτων [Θεῷ] θυσία εὑρεθῶ· οὐχ ὡς Πέτρος καὶ Παῦλος διατάσσομαι ὑμῖν. ἐκεῖνοι ἀπόστολοι, ἐγὼ κατάκριτος. ἐκεῖνοι ἐλεύθεροι, ἐγὼ μέχρι νῦν δοῦλος. ἀλλ' ἐὰν πάθω, ἀπελεύθερος [γενήσομαι] Ἰησοῦ Χριστοῦ, καὶ ἀναστήσομαι [ἐν αὐτῷ] ἐλεύθερος. Νῦν μανθάνω, δεδεμένος, μηδὲν ἐπιθυμεῖν [κοσμικὸν ἢ μάταιον.]

Ἀπὸ Συρίας μέχρι Ῥώμης θηριομαχῶ, διὰ γῆς καὶ θαλάσσης, νυκτὸς καὶ ἡμέρας, ἐνδεδεμένος δέκα λεοπάρδοις (ὅ ἐστι στρατιωτικὸν τάγμα) οἳ καὶ εὐεργετούμενοι χείρους γίνονται. ἐν δὲ τοῖς ἀδικήμασιν αὐτῶν μᾶλλον μαθητεύομαι, [ἀλλ' οὐ παρὰ τοῦτο δεδικαίωμαι.] Ὀναίμην τῶν θηρίων τῶν ἐμοὶ ἡτοιμασμένων· [ἃ] καὶ εὔχομαι [f] συντομά μοι εὑρεθῆναι. ἃ καὶ κολακεύσω, συντόμως με καταφαγεῖν, (οὐχ ὥσπερ τινῶν δειλαινόμενα οὐχ ἥψαντο.) κἂν αὐτὰ δὲ ἄκοντα μὴ θέλῃ, ἐγὼ προσβιάσομαι. Συγγνώμην μοι ἔχετε· τί μοι συμφέρει ἐγὼ γινώσκω· νῦν

ἄρχομαι

[f] σύντονα acriores (Rufin.)

ἄρχομαι μαθητὴς εἶναι, [μηδέν με ζηλῶσαι τῶν ὁρατῶν καὶ τῶν ἀοράτων] ἵνα Ἰησοῦ Χριστοῦ ἐπιτύχω. πῦρ, καὶ σταυρὸς, θηρίων τε συστάσεις, [ἀνατομαὶ, διαιρέσεις,] σκορπισμοὶ ὀστέων, συγκοπαὶ μελῶν, ἀλησμοὶ ὅλου τοῦ σώματος, καὶ κολάσεις τοῦ διαβόλου, ἐπ' ἐμὲ ἐρχέσθωσαν, μόνον ἵνα Ἰησοῦ Χριστοῦ ἐπιτύχω.

Οὐδέν με ὠφελήσει τὰ πέρατα τοῦ κόσμου, οὐδὲ αἱ βασιλεῖαι τοῦ αἰῶνος τούτου. καλόν ἐμοὶ ἀποθανεῖν διὰ Ἰησοῦν Χριστὸν ἢ βασιλεύειν τῶν περάτων τῆς γῆς. [Τί γὰρ ὠφελεῖται ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ἀπολέσῃ;] ἐκεῖνον ζητῶ, τὸν ὑπὲρ ἡμῶν ἀποθανόντα [καὶ ἀναστάντα.] Συγγνωμονεῖτέ μοι ἀδελφοὶ, μὴ ἐμποδίσητέ μοι ζῆσαι. μὴ θελήσητέ με ἀποθανεῖν. [τὸν Θεοῦ θέλοντά με εἶναι g, κόσμῳ μὴ χαρίσησθε.] Ἄφετέ με καθαρὸν φῶς λαβεῖν· ἐκεῖ παραγενόμενος, ἄνθρωπος [Θεοῦ] ἔσομαι. ἐπιτρέψατέ μοι μιμητὴν εἶναι πάθους Χριστοῦ [τοῦ Θεοῦ μου·] εἴ τις αὐτὸν ἐν ἑαυτῷ ἔχει, νοησάτω ὃ θέλω, καὶ συμπαθείτω μοι, εἰδὼς τὰ συνέχοντά με.

g Noster vetus Interpres legit. διὰ κόσμου μὴ χωρίσησθε, μήτε δι' ὕλης ἐξαπατᾶσθε.

Ὁ ἄρχων τοῦ αἰῶνος τούτου διαρπάσαι με βούλεται, καὶ τὴν εἰς [τὸν] Θεόν μου γνώμην διαφθεῖραι. μηδεὶς οὖν τῶν παρόντων [ὑμῶν] βοηθείτω αὐτῷ. μᾶλλον ἐμοὶ γίνεσθε, τουτ' ἔστι, τῷ Θεῷ. μὴ λαλῆτε Ἰησοῦν Χριστὸν, κόσμον δὲ ἐπιθυμεῖτε. βασκανία ἐν ὑμῖν μὴ κατοικείτω. μηδ' ἐὰν ἐγὼ [ὑμᾶς] παρὼν παρακαλῶ,

incipio discipulus esse, [cùm nihil expetam aut visibilium aut invisibilium,] ut *Iesum Christum* assequar. Ignis, crux, ferarum concursus, [sectiones, lanienæ,] ossium discerptiones, membrorum concisiones, totius corporis contritiones, & Diaboli tormenta in me veniant; tantummodò ut *Iesum* nanciscar.

Nil me juvabunt fines mundi, nec regna hujus seculi. Melius est mihi emori propter *Iesum Christum*, quàm imperare finibus terræ. [*Quid enim prodest homini si totum mundum lucretur, animæ verò suæ detrimentum patiatur?*] Illum quæro qui pro nobis mortuus est, [& resurrexit.] Ignoscite mihi, fratres, ne mihi impedimento sitis, quo minùs vivam: ne me velitis mori. [Cumque cupiam me Dei esse, ne gratificemini mundo.] Sinite me purum lumen haurire: cùm illic fuero, homo [Dei] ero. Permittite mihi, ut æmulator sim passionis *Christi* [Dei mei.] Si quis ipsum hîc possidet, intelligat quid volo, & compatiatur mihi, cùm sciat quæ me constringunt.

Princeps hujus seculi rapere me vult, & animam meam voluntatemque, quam erga Deum habeo, corrumpere. Nullus itaque [vestrûm] qui præsentes estis opituletur illi: potiùs mihi [opitulatores] sitis, id est, Deo. Ne loquamini *Iesum Christum*, & mundum concupiscatis. Invidia in vobis non habitet; neque si ego præsens [vos] obsecrem, obtemperetis

temperetis, verùm his potiùs credite quæ vobis scribo. Vivens enim scribo vobis, amore captus moriendi. Meus amor crucifixus est: & non est in me ignis quippiam mundanæ materiæ amans; sed aqua vivens, & loquens in me, intùs mihi dicit, *Veni ad Patrem.* Non gaudeo corruptibili nutrimento, nec voluptatibus hujus vitæ: panem Dei volo, [panem cœlestem, panem vitæ,] qui est caro *Christi* [filii Dei, qui factus est posterioribus temporibus.] ex semine *David* [& *Abraha*;] & potum volo sanguinem illius, qui est charitas incorruptibilis [& vita æterna.]

πεισθῆτε. τούτοις δὲ μᾶλλον πείσθητε, οἷς γράφω ὑμῖν. ζῶν γὰρ γράφω ὑμῖν, ἐρῶν τοῦ ἀποθανεῖν. ὁ ἐμὸς ἔρως ἐσταύρωται, καὶ οὐκ ἔστιν ἐν ἐμοὶ πῦρ φιλόϋλον. ὕδωρ δὲ ζῶν, καὶ λαλοῦν, ἐν ἐμοὶ, ἔσωθέν μοι λέγει, Δεῦρο πρὸς τὸν πατέρα. οὐχ ἥδομαι τροφῇ φθορᾶς, οὐδὲ ἡδοναῖς τοῦ βίου τούτου· ἄρτον [τοῦ] Θεοῦ θέλω, [ἄρτον οὐράνιον, ἄρτον ζωῆς,] ὅ ἐστι σὰρξ Ἰησοῦ Χριστοῦ [τοῦ υἱοῦ τοῦ Θεοῦ, τοῦ [h] γενομένου ἐν ὑστέρῳ] ἐκ σπέρματος Δαβὶδ [καὶ Ἀβραάμ·] καὶ πόμα θέλω τὸ αἷμα αὐτοῦ, ὅ ἐστιν ἀγάπη ἄφθαρτος, [καὶ ἀέναος ζωή.]

Nolo ampliùs secundùm homines vivere. Id autem fiet, si vos velitis. Velitis ergo, ut & vos acceptemini. Brevibus literis deprecor vos: credite mihi. *Jesus* autem *Christus* manifestabit vobis hæc, non mendax os, quòd verè dicam. Et vos petite pro me, ut assequar. Non secundùm carnem vobis scripsi, sed secundùm Dei arbitrium: si patiar, [adamâstis me; sin rejiciar, odistis me.]

Οὐκ ἔτι θέλω κατὰ ἀνθρώπους ζῆν· τοῦτο δὲ ἔσται, ἐὰν ὑμεῖς θέλητε. Θελήσατε οὖν, ἵνα καὶ ὑμεῖς θεληθῆτε. Δι' ὀλίγων γραμμάτων αἰτοῦμαι, πιστεύσατέ μοι. Ἰησοῦς δὲ Χριστὸς ὑμῖν φανερώσει ταῦτα, τὸ ἀψευδὲς στόμα, ὅτι ἀληθῶς λέγω. Αἰτήσασθε περὶ ἐμοῦ, ἵνα ἐπιτύχω. οὐ κατὰ σάρκα ὑμῖν ἔγραψα, ἀλλὰ κατὰ γνώμην Θεοῦ· ἐὰν πάθω, [ἠγαπήσατε· ἐὰν ἀποδοκιμασθῶ, ἐμισήσατε.]

Memores este in precibus vestris Ecclesiæ quæ est in *Syriâ*, quæ pro me jam Domino pastore utitur. Solus ipsam curabit *Iesus Christus*, & vestra [in ipsum] charitas. [Me verò pudet, unum de illorum numero dici. Nec enim dignus sum, cùm novissimus eorum sim, & abortivus: sed per misericordiam Dei obtinui, ut sim

Μνημονεύετε ἐν τῇ προσευχῇ ὑμῶν τῆς ἐν Συρίᾳ ἐκκλησίας. ἥτις ἀντ' ἐμοῦ ποιμένι χρῆται τῷ Κυρίῳ· μόνος αὐτὴν Ἰησοῦς Χριστὸς ἐπισκοπήσει, καὶ ἡ ὑμῶν [εἰς αὐτὸν] ἀγάπη. [ἐγὼ δὲ καὶ αἰσχύνομαι ἐξ αὐτῶν λέγεσθαι. οὐ γάρ εἰμι ἄξιος, ὢν ἔσχατος αὐτῶν, καὶ ἔκτρωμα· ἀλλ'

[h] γεννωμένου ἐν ὑστέρᾳ, nati in utero. *Iun.*

ἠλέημαί τις εἶναι, ἐὰν Θεοῦ ἐπιτύχω.] Ἀσπάζεται ὑμᾶς τὸ ἐμὸν πνεῦμα, καὶ ἡ ἀγάπη τῶν ἐκκλησιῶν τῶν δεξαμένων με εἰς ὄνομα Ἰησοῦ Χριστοῦ, οὐχ ὡς παροδεύοντα· καὶ γὰρ αἱ μὴ προσήκουσαί μοι, τῇ ὁδῷ τῇ κατὰ σάρκα, κατὰ πόλιν με προήγαγον.

Γράφω δὲ ὑμῖν ταῦτα ἀπὸ Σμύρνης, διὰ Ἐφεσίων τῶν ἀξιομακαρίστων· ἔστι δὲ ἅμα ἐμοὶ σὺν πολλοῖς καὶ ἄλλοις, Κρόκος τὸ ποθητὸν ὄνομα. [Περὶ] τῶν προελθόντων ἀπὸ Συρίας [εἰς Ῥώμην] εἰς δόξαν Θεοῦ, [πιστεύω ὑμᾶς ἐπιγνωκέναι· οἷς καὶ δηλώσετε, ἐγγύς με ὄντα· πάντες γὰρ εἰσὶν ἄξιοι Θεοῦ καὶ ὑμῶν· οὓς πρέπον ἐστὶν ὑμῖν κατὰ πάντα ἀναπαῦσαι.] Ἔγραψα δὲ ὑμῖν ταῦτα, τῇ πρὸ ἐννέα καλανδῶν Σεπτεμβρίων. Ἔρρωσθε εἰς τέλος, ἐν ὑπομονῇ Ἰησοῦ Χριστοῦ.

sim aliquis, si Deum assequar.] Salutat vos meus spiritus, & charitas Ecclesiarum, quæ me acceperunt in nomine *Iesu Christi*, non quasi obiter prætereuntem. Etenim quæ itineris duces mihi non fuerunt in viâ quæ est secundùm carnem, in civitatibus me honorificè deduxerunt.

Scribo autem vobis hæc è *Smyrnâ* per *Ephesios* meritò beatissimos. Est unâ mecum cum aliis multis exoptatum mihi nomen *Crocus*. De his qui è *Syriâ Romam* venerunt ad gloriam Dei, [credo vos cognovisse: quibus & significate, me propè esse. Omnes enim sunt Deo digni, & vobis: quos decet vos per omnia refocillare.] Scripsi vobis hæc ante IX. Kalend. Septembris. Valete in perpetuum, in patientiâ *Iesu Christi*.

Πρὸς Ῥωμαίους.

AD

AD PHILADELPHENOS.

IGNATIUS, qui & Theophorus, Ecclesiæ Dei Patris & Domini Iesu Christi, quæ est Philadelphiæ in Asiâ, misericordiam consecutæ, & firmatæ in Dei concordiâ, & exultanti in passione Domini nostri inseparabiliter; quæ per resurrectionem ejus plenè instructa est, in omni misericordiâ: quam saluto in sanguine Iesu Christi, quod est gaudium sempiternum & stabile, maximè iis, qui unum sunt cum Episcopo, & qui cum eo sunt Presbyteris & Diaconis, designatis per sententiam Iesu Christi; quos secundùm propriam voluntatem suam firmavit in stabilitate, per sanctum suum spiritum.

QUem Episcopum cognovi, non à seipso, neque per homines obtinuisse hoc ad commune spectans ministerium, nec per inanem gloriam, sed in charitate Dei Patris & Domini *Iesu Christi*. Cujus obstupui modestiam, qui tacitus plus poterit quàm alii qui vana loquuntur. Coaptatus enim est mandatis, ut chordis cithara. Quaproptet beatam censeo illius animam, quòd cognoscam illam virtutibus ornatam & perfectam, nullis affectibus obnoxiam, omnisque iracundiæ expertem, in omni mansuetudine Dei viventis.

ΦΙΛΑΔΕΛΦΕΥΣΙΝ ΙΓΝΑΤΙΟΣ.

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος, ἐκκλησίᾳ Θεοῦ πατρὸς καὶ κυρίου Ἰησοῦ Χριστοῦ, τῇ οὔσῃ ἐν Φιλαδελφίᾳ τῆς Ἀσίας, ἠλεημένῃ καὶ ἡδρασμένῃ ἐν ὁμονοίᾳ Θεοῦ, καὶ ἀγαλλιωμένῃ ἐν τῷ πάθει τοῦ κυρίου ἡμῶν ἀδιακρίτως, [καὶ] ἐν τῇ ἀναστάσει αὐτοῦ πεπληροφορημένῃ ἐν παντὶ ἐλέει, ἣν ἀσπάζομαι ἐν αἵματι Ἰησοῦ Χριστοῦ, ἥτις ἐστὶν χαρὰ αἰώνιος καὶ παράμονος, μάλιστα ἐὰν ἐν ἑνὶ ὦσιν σὺν τῷ ἐπισκόπῳ, καὶ τοῖς σὺν αὐτῷ πρεσβυτέροις, καὶ διακόνοις ἀποδεδειγμένοις ἐν γνώμῃ Ἰησοῦ Χριστοῦ, οὓς κατὰ τὸ ἴδιον θέλημα ἐστήριξεν ἐν βεβαιωσύνῃ, τῷ ἁγίῳ αὐτοῦ πνεύματι.

ὋΝ ἐπίσκοπον ἔγνων οὐκ ἀφ' ἑαυτοῦ, οὐδὲ δι' ἀνθρώπων κεκτῆσθαι τὴν διακονίαν, τὴν εἰς τὸ κοινὸν ἀνήκουσαν, οὐδὲ κατὰ κενοδοξίαν, ἀλλ' ἐν ἀγάπῃ Θεοῦ πατρὸς καὶ κυρίου Ἰησοῦ Χριστοῦ, οὗ καταπέπληγμαι τὴν ἐπιείκειαν, ὃς σιγῶν πλείονα δύναται τῶν μάταια λαλούντων. συνευρύθμισται γὰρ ταῖς ἐντολαῖς, ὡς χορδαῖς κιθάρα. διὸ μακαρίζει μου ἡ ψυχὴ τὴν εἰς Θεὸν αὐτοῦ γνώμην, ἐπιγνοὺς ἐνάρετον καὶ τελείαν οὖσαν, τὸ ἀκίνητον αὐτοῦ καὶ τὸ ἀόργητον αὐτοῦ ἐν πάσῃ ἐπιεικείᾳ Θεοῦ ζῶντος.

Τέκνα οὖν φωτὸς, ἀληθείας φεύγετε τὸν μερισμὸν [καὶ] τὰς κακοδιδασκαλίας· ὅπου δὲ ὁ ποιμήν ἐστιν, ἐκεῖ ὡς πρόβατα ἀκολουθεῖτε. πολλοὶ γὰρ λύκοι [a] ἀξιόπιστοι ἡδονῇ κακῇ αἰχμαλωτίζουσιν τοὺς θεοδρόμους, ἀλλ' ἐν τῇ ἑνότητι ὑμῶν οὐχ ἕξουσιν τόπον.

[a] κατ' ἀξίαν πιστευόμενοι, in Epist. ad Trallian.

Ἀπέχεσθε τῶν κακῶν βοτανῶν, ἅστινας οὐ γεωργεῖ Ἰησοῦς Χριστὸς, διὰ τὸ μὴ εἶναι [b] αὐτοὺς φυτείαν πατρός. οὐχ' ὅτι παρ' ὑμῖν μερισμὸν εὗρον, ἀλλ' [c] ἀποδιϋλισμόν. ὅσοι γὰρ Θεοῦ εἰσὶν καὶ Ἰησοῦ Χριστοῦ, οὗτοι μετὰ τοῦ ἐπισκόπου εἰσίν. καὶ ὅσοι ἂν μετανοήσαντες ἔλθωσιν ἐπὶ τὴν ἑνότητα τῆς ἐκκλησίας, οὗτοι Θεοῦ ἔσονται, ἵνα ὦσιν κατὰ Ἰησοῦν Χριστὸν ζῶντες. Μὴ πλανᾶσθε ἀδελφοί μου. εἴ τις σχίζοντι ἀκολουθεῖ, βασιλείαν Θεοῦ οὐ κληρονομεῖ. εἴ τις ἐν ἀλλοτρίᾳ γνώμῃ περιπατεῖ, οὗτος τῷ πάθει οὐ συγκατατίθεται.

[b] al. αὐτὰς

[c] ἀποδιυλισμὸν, noster vetus legit Interpres.

Σπουδάζετε οὖν μιᾷ εὐχαριστίᾳ χρῆσθαι· μία γὰρ σὰρξ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἓν ποτήριον εἰς ἕνωσιν τοῦ αἵματος αὐτοῦ· ἓν θυσιαστήριον, ὡς εἷς ἐπίσκοπος, ἅμα τῷ πρεσβυτερίῳ καὶ διακόνοις τοῖς συνδούλοις μου, ἵνα ὃ ἐὰν πράσσητε κατὰ Θεὸν πράσσητε.

Ἀδελφοί μου, λίαν ἐκκέχυμαι ἀγαπῶν ὑμᾶς, καὶ ὑπεραγαλλόμενος ἀσφαλίζομαι ὑμᾶς. οὐκ ἐγὼ δὲ, ἀλλ' Ἰησοῦς Χριστὸς ἐν ᾧ δεδεμένος φοβοῦμαι μᾶλλον ὡς ἔτι ὢν

Filii itaque lucis, veritatis fugite divisionem & pravas doctrinas: ubi autem pastor est, eodem & vos, ut oves, sequamini. Multi enim lupi, ratione dignitatis quam obtinent fidem adepti, in Dei stadio currentes perniciosis voluptatibus illectos captivos comprehendunt: verùm in vestrâ concordiâ nullus dabitur illis locus.

Abstinete ab herbis noxiis, quas *Iesus Christus* non excolit; quia non sunt plantatio Patris. Non quòd apud vos divisionem invenerim; sed excolationem potiùs. Quotquot enim Dei & *Iesu Christi* sunt, hi sunt partium Episcopi. Quotquot autem pœnitentiâ ducti redierint ad unitatem Ecclesiæ, & isti Dei erunt; ut secundùm *Iesum Christum* vivant. Ne erretis, fratres mei. Si quis schisma facientem sectatur; regni Dei hæreditatem non consequitur. Si quis in alienâ sententiâ ambulat; iste passioni non consentit.

Operam igitur detis, ut unâ Eucharistiâ utamini. Una enim est caro Domini nostri *Iesu Christi*, & unus calix in unionem sanguinis ipsius: unum altare, sicut unus Episcopus cum Presbyterio & Diaconis conservis meis; ut quod facitis, secundùm Deum faciatis.

Fratres mei, valdè effusus sum amore vestri, & supra modum exultans tutos cautosque vos reddo; non ego, sed *Iesus Christus*; in quo vinctus, plus timeo, ut adhuc im-

imperfectus. Sed oratio vestra apud Deum me perficiet, ut sorte per misericordiam mihi assignatâ potiar: ut confugiens ad Euangelium tanquam ad carnem *Iesu*, & ad Apostolos velut ad Ecclesiæ Presbyterium. Sed & Prophetas diligamus: propterea quòd & ipsi Euangelium annunciaverint, & in *Christum* speraverint, & ipsum expectaverint: in quo & credentes salutem consecuti sunt, in unitate *Iesu Christi* existentes digni qui amarentur & admirationi nobis essent; à *Iesu Christo* testimonium adepti, & connumerati in Euangelio spei communis.

Si quis autem Judaismum vobis exponat; ne audiatis ipsum. Melius est enim à viro circumcisionem habente Christianismum audire, quàm ab habente præputium Judaismum. Si autem utrique de *Iesu Christo* non loquantur: isti mihi columnæ sepulchrales & mortuorum sunt monumenta, quibus hominum nomina duntaxat inscripta sunt. Fugite igitur malas artes, & insidias Principis seculi hujus; ne quando sententiâ ipsius oppressi, charitatis affectum in vobis languescere permittatis: sed omnes in unum sitis indivulso corde. Gratias autem ago Deo meo, quòd pacatam habeam de vobis conscientiam, nec habet quispiam quod glorietur vel secreto vel palàm, me quemquam gravâsse vel in parvo vel in magno. Sed & omnes inter quos locutus sum oro, ne illud in testimonium conservent.

[d] ἀνάρπαστος. ἀλλὰ ἡ προσευχὴ ὑμῶν εἰς Θεὸν με ἀπαρτίσει, ἵνα ἐν ᾧ κλήρῳ ἠλεήθην, ἐπιτύχω, προσφυγὼν τῷ εὐαγγελίῳ ὡς σαρκὶ Ἰησοῦ, καὶ τοῖς ἀποστόλοις ὡς πρεσβυτερίῳ ἐκκλησίας. Καὶ τοὺς προφήτας δὲ ἀγαπῶμεν, διὰ τὸ καὶ αὐτοὺς εἰς τὸ εὐαγγέλιον κατηγγελκέναι, καὶ εἰς [e] αὐτὸν ἐλπίζειν, καὶ αὐτὸν ἀναμένειν. ἐν ᾧ καὶ πιστεύσαντες ἐσώθησαν, ἐν ἑνότητι Ἰησοῦ Χριστοῦ ὄντες ἀξιαγάπητοι καὶ ἀξιοθαύμαστοι ἅγιοι, ὑπὸ Ἰησοῦ Χριστοῦ μεμαρτυρημένοι, καὶ συνηριθμημένοι ἐν τῷ εὐαγγελίῳ τῆς κοινῆς ἐλπίδος.

Ἐὰν δέ τις Ἰουδαϊσμὸν ἑρμηνεύῃ ὑμῖν, μὴ ἀκούετε αὐτοῦ. ἄμεινον γάρ ἐστιν παρὰ ἀνδρὸς περιτομὴν ἔχοντος χριστιανισμὸν ἀκούειν, ἢ παρὰ ἀκροβύστου Ἰουδαϊσμόν. ἐὰν δὲ ἀμφότεροι περὶ Ἰησοῦ Χριστοῦ μὴ λαλῶσιν, οὗτοι ἐμοὶ στῆλαί εἰσιν καὶ τάφοι νεκρῶν, ἐφ' οἷς γέγραπται μόνον ὀνόματα ἀνθρώπων. Φεύγετε οὖν τὰς κακοτεχνίας, καὶ ἐνέδρας τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου, μήποτε θλιβέντες τῇ γνώμῃ αὐτοῦ [f] ἐξασθενήσετε ἐν τῇ ἀγάπῃ· ἀλλὰ πάντες ἐπὶ τὸ αὐτὸ γίνεσθε ἐν ἀμερίστῳ καρδίᾳ. εὐχαριστῶ δὲ τῷ Θεῷ μου, ὅτι εὐσυνείδητός εἰμι ἐν ὑμῖν, καὶ οὐκ ἔχει τις καυχήσασθαι οὔτε λάθρα, οὔτε φανερῶς, ὅτι ἐβάρησα τινὰ ἐν μικρῷ, ἢ ἐν μεγάλῳ. καὶ πᾶσι δὲ ἐν οἷς ἐλάλησα, εὔχομαι ἵνα μὴ εἰς μαρτύριον αὐτὸ κτήσωνται.

[d] al. ἀναπάρτιστος. Vid. notas Vossii.

[e] Vetus noster Interpr. Χριστόν.

[f] γρ. ἐξασθενήσηται.

Εἰ γὰρ καὶ κατὰ σάρκα μέ τινες ἠθέλησαν πλανῆσαι, ἀλλὰ τὸ πνεῦμα οὐ πλανᾶται, ἀπὸ Θεοῦ ὄν. οἶδεν γὰρ πόθεν ἔρχεται, καὶ ποῦ ὑπάγει, καὶ τὰ κρυπτὰ ἐλέγχει. ἐκραύγασα μεταξὺ ὤν, ἐλάλουν μεγάλῃ φωνῇ· τῷ ἐπισκόπῳ προσέχετε, καὶ τῷ πρεσβυτερίῳ, καὶ διακόνοις. οἱ δὲ [g] ὑποπτεύσαντές με ὡς προειδότα τὸν μερισμόν τινων λέγειν ταῦτα. Μάρτυς δέ μοι ἐν ᾧ δέδεμαι, ὅτι ἀπὸ σαρκὸς ἀνθρωπίνης οὐκ ἔγνων. Τὸ δὲ πνεῦμα ἐκήρυσσεν, [h] λέγον τάδε· Χωρὶς τοῦ ἐπισκόπου μηδὲν ποιεῖτε· τὴν σάρκα ὑμῶν ὡς ναὸν Θεοῦ τηρεῖτε· τὴν ἕνωσιν ἀγαπᾶτε, τοὺς μερισμοὺς φεύγετε, μιμηταὶ γίνεσθε Ἰησοῦ Χριστοῦ, ὡς καὶ αὐτὸς τοῦ πατρὸς αὐτοῦ.

Ἐγὼ μὲν οὖν τὸ ἴδιον ἐποίουν, ὡς ἄνθρωπος εἰς ἕνωσιν κατηρτισμένος. Οὗ δὲ μερισμός ἐστιν καὶ ὀργή, Θεὸς οὐ κατοικεῖ. πᾶσιν οὖν μετανοοῦσιν [i] ἀφίει ὁ κύριος, ἐὰν μετανοήσωσιν εἰς ἑνότητα Θεοῦ, καὶ συνέδριον τοῦ ἐπισκόπου. πιστεύω τῇ χάριτι Ἰησοῦ Χριστοῦ, ὃς λύσει ἀφ' ὑμῶν πάντα δεσμόν. παρακαλῶ δὲ ὑμᾶς μηδὲν κατ' ἐριθείαν πράσσειν, ἀλλὰ κατὰ Χριστομαθίαν. Ἐπεὶ ἤκουσά τινων λεγόντων, ὅτι ἐὰν μὴ ἐν τοῖς [k] ἀρχαίοις εὕρω, ἐν τῷ εὐαγγελίῳ οὐ πιστεύω. καὶ λέγοντός μου αὐτοῖς, ὅτι γέγραπται, ἀπεκρίθησάν μοι, ὅτι πρόκειται. ἐμοὶ δὲ ἀρχεῖά ἐστιν Ἰησοῦς Χριστός, τὰ ἄθικτα ἀρχεῖα ὁ σταυρὸς αὐτοῦ καὶ ὁ θάνατος, καὶ ἡ ἀνάστασις αὐτοῦ,

g γρ. πτεύσαντες

h γρ. λέγων

i al. ἀφίησιν

k al. ἀρχείοις

Quanquam enim secundùm carnem voluerunt quidam me seducere; at spiritus non seducitur, à Deo existens. Novit enim *undè venit, & quò vadit*, & secreta coarguit. Clamavi cùm interessem, locutus sum magnâ voce: *Episcopo attendite, & Presbyterio, & Diaconis.* Quidam autem suspicati sunt me, ut præscientem divisionem quorundam, hæc dicere. Testis autem mihi is est, propter quem vinctus sum, quòd à carne humanâ istud non cognoverim; sed Spiritus annunciavit mihi, dicens ista. *Sine Episcopo nihil facite. Carnem vestram, ut Dei templum, custodite. Unitatem amate; dissidia fugite. Imitatores este Iesu Christi, sicut & ipse Patris ipsius.*

Ego itaque quod meum erat feci, ut homo ad unitatem compositus. Ubi autem divisio est & ira, ibi Deus minimè habitat. Omnibus igitur pœnitentibus remittit Deus, si resipiscant in unitatem Dei, & Episcopi consessum. Credo gratiæ Jesu Christi, quòd solvet à vobis omne vincuculum. Obsecro autem vos nihil per contentionem facere, sed juxta *Christi* disciplinam. Quandoquidem audivi quosdam dicentes: *Nisi invenero in archivis, Evangelio non credo.* Et dicente me ipsis, quòd *Scriptum est:* responderunt mihi, quòd *Præjacet.* Mihi verò pro archivis est *Iesus Christus:* illibata archiva crux ejus & mors, & resurrectio ejus, & fides

quæ

quæ per ipsum; quibus justificari cupio, per precationes vestras.

Boni quidem sunt Sacerdotes, præstantior autem est summus Pontifex; cui credita sunt sancta sanctorum, cui soli secreta Dei sunt credita: qui ipse est janua Patris, per quam ingrediuntur *Abraham* & *Isaac* & *Jacob*, & Prophetæ, & Apostoli, & Ecclesia. Omnia hæc ad unitatē Dei spectant: eximium autem quiddam habet Euangelium; nimirùm adventum Domini nostri *Jesu Christi*, passionem ipsius & resurrectionem. Dilecti namque Prophetæ annunciaverunt de ipso: Euangelium verò perfectio est incorruptionis. Omnia in universum bona sunt: modò in charitate credideritis.

Quoniam per orationem vestram, & viscera quæ habetis in *Christo Iesu*, nunciatum est mihi pacem habere Ecclesiam *Antiochenam* quæ in *Syriâ* est: decet vos, ut Dei Ecclesiam, eligere Diaconum, qui obeat ibi legationem Dei; ut cum illis in idem loci congregatis simul gaudeat & glorificet nomen Dei. Beatus ille in *Iesu Christo*, qui dignus habitus fuerit ejusmodi ministerio: & vos glorificabimini. Volentibus autem vobis non est impossibile, pro nomine Dei; ut & proximæ Ecclesiæ miserunt, aliæ Episcopos, nonnullæ verò Presbyteros & Diaconos.

De *Philone* autem Diacono *Cilicensi*, viro laudatissimo, qui & nunc in verbo Dei mihi ministrat,

καὶ ἡ πίστις ἡ δι' αὐτοῦ, ἐν οἷς θέλω ἐν τῇ προσευχῇ ὑμῶν δικαιωθῆναι.

Καλοὶ καὶ οἱ ἱερεῖς, [1] κρεῖσσον δὲ ὁ ἀρχιερεὺς ὁ πεπιστευμένος τὰ ἅγια τῶν ἁγίων, ὃς μόνος πεπίστευται τὰ κρυπτὰ τοῦ Θεοῦ. αὐτὸς ὢν θύρα τοῦ πατρὸς, δι' ἧς εἰσέρχονται Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, καὶ οἱ προφῆται, καὶ οἱ ἀπόστολοι, καὶ ἡ ἐκκλησία. πάντα ταῦτα εἰς ἑνότητα Θεοῦ. ἐξαίρετον δέ τι ἔχει τὸ εὐαγγέλιον, τὴν παρουσίαν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὸ πάθος αὐτοῦ, καὶ τὴν ἀνάστασιν. οἱ γὰρ ἀγαπητοὶ προφῆται κατήγγειλαν εἰς αὐτόν. τὸ δὲ εὐαγγέλιον ἀπάρτισμά ἐστιν ἀφθαρσίας. πάντα ὁμοῦ καλά ἐστιν, ἐὰν ἐν ἀγάπῃ πιστεύετε.

[1] al. κρείσσων

Ἐπεὶ δὲ κατὰ τὴν προσευχὴν ὑμῶν [καὶ] κατὰ τὰ σπλάγχνα ἃ ἔχετε ἐν Χριστῷ Ἰησοῦ, ἀπηγγέλη μοι εἰρηνεύειν τὴν ἐκκλησίαν τὴν ἐν Ἀντιοχείᾳ τῆς Συρίας, πρέπον ἐστὶν ὑμῖν, ὡς ἐκκλησίᾳ Θεοῦ, χειροτονῆσαι διάκονον εἰς τὸ πρεσβεῦσαι ἐκεῖ Θεοῦ πρεσβείαν. εἰς τὸ συγχαρῆναι αὐτοῖς ἐπὶ τὸ αὐτὸ γενομένοις, καὶ δοξάσαι τὸ ὄνομα. Μακάριος ἐν Ἰησοῦ Χριστῷ ὃς καταξιωθήσεται τῆς τοιαύτης διακονίας, καὶ ὑμεῖς δοξασθήσεσθε. θέλουσιν δὲ ὑμῖν οὐκ ἔστιν ἀδύνατον ὑπὲρ ὀνόματος Θεοῦ, ὡς καὶ αἱ ἔγγιστα ἐκκλησίαι ἔπεμψαν ἐπισκόπους, αἱ δὲ πρεσβυτέρους καὶ διακόνους.

Περὶ δὲ Φίλωνος τοῦ διακόνου ἀπὸ Κιλικίας ἀνδρὸς μεμαρτυρημένου, ὃς καὶ νῦν ἐν λόγῳ Θεοῦ

ὑπηρετεῖ

ὑπηρετεῖ μοι ἅμα Ῥέῳ Ἀγαθόποδι ἀνδρὶ ἐκλεκτῷ, ὃς ἀπὸ Συρίας μοι ἀκολουθεῖ ἀποταξάμενος τῷ βίῳ, οἳ καὶ μαρτυροῦσιν ὑμῖν, κἀγὼ τῷ Θεῷ εὐχαριστῶ ὑπὲρ ὑμῶν, ὅτι ἐδέξασθε αὐτοὺς, ὡς καὶ ὑμᾶς ὁ κύριος. οἱ δὲ ἀτιμάσαντες αὐτοὺς, λυτρωθείησαν ἐν τῇ χάριτι τοῦ Ἰησοῦ Χριστοῦ. Ἀσπάζεται ὑμᾶς ἡ ἀγάπη τῶν ἀδελφῶν τῶν ἐν Τρωάδι, ὅθεν καὶ γράφω ὑμῖν, διὰ Βούρρου πεμφθέντος ἅμα ἐμοὶ ἀπὸ Ἐφεσίων, καὶ Σμυρναίων, εἰς λόγον τιμῆς. τιμήσει αὐτοὺς ὁ κύριος Ἰησοῦς Χριστὸς, εἰς ὃν ἐλπίζουσιν σαρκὶ, ψυχῇ, [πνεύματι,] πίστει, ἀγάπῃ, ὁμονοίᾳ. ἔρρωσθε ἐν Χριστῷ Ἰησοῦ τῇ κοινῇ ἐλπίδι ἡμῶν.

unà cum *Rheo Agathapode* viro electo, qui à *Syriâ* me comitatur, vitæ renuncians: qui & de vobis testificantur. Et ego Deo ago gratias vestro nomine, quòd officiosè illos suscepistis; sicut & vos suscipiat Dominus. Qui verò illos ignominiâ affecerunt, liberentur gratiâ *Iesu Christi*. Salutat vos charitas fratrum qui sunt in *Troade*: unde & scribo vobis per *Burrhum*, qui missus est mecum ab *Ephesiis* & *Smyrnæis* honoris causâ. Honoret & ipsos Dominus *Iesus Christus*, in quem sperant, carne, animâ, [spiritu,] fide, charitate, concordiâ. Valete in *Christo Iesu*, communi spe nostrâ.

Φιλαδελφεῦσιν Ἰγνάτιος.

AD

AD SMYRNÆOS.

IGNATIUS, *qui & Theophorus, Ecclesiæ Dei Patris & dilecti Jesu Christi, misericordiam consecuta in omni dono, repleta fide & charitate, nullum non donum assecuta, divinissima & sacrosanctæ, quæ est Smyrnæ in Asiâ; in spiritu immaculato* [&] *verbo Dei, Salutem plurimam.*

GLorifico *Iesum Christum* Deum, qui tantâ vos sapientiâ donavit. Cognovi enim vos absolutè perfectos in fide stabili, (utpote unâ affixos cruci Domini nostri *Iesu Christi*, & carne & spiritu) & firmatos in charitate, in sanguine *Christi*: plenâ fiduciâ firmatos in Dominum nostrum, verè existentem de genere *David*, secundùm carnem, filium Dei, secundùm voluntatem & potentiam Dei natum verè ex Virgine, baptizatum à *Iohanne*, ut *impleretur ab eo omnis justitia*; verè sub *Pontio Pilato* & *Herode* Tetrarchâ clavis confixum pro nobis in carne. ex cujus fructu nos sumus, per divinam beatamque passionem ejus; ut elevaret signum in secula, per resurrectionem ejus, sanctis & fidelibus, sive Judæis sive Gentibus, in unum corpus Ecclesiæ suæ.

Omnia enim hæc passus est propter nos, ut salutem consequamur. Et verè passus est, sicut & verè seipsum resuscitavit. Sed non, ut quidam infideles dicunt, secundùm apparentiam ipsum

ΣΜΥΡΝΑΙΟΙΣ.

Ἰγνάτιος ὁ καὶ Θεοφόρος, ἐκκλησίᾳ Θεοῦ πατρὸς καὶ τοῦ ἠγαπημένου Ἰησοῦ Χριστοῦ, ἠλεημένῃ ἐν παντὶ χαρίσματι, πεπληρωμένῃ ἐν πίστει καὶ ἀγάπῃ, ἀνυστερήτῳ οὔσῃ παντὸς χαρίσματος, θεοπρεπεστάτῃ καὶ ἁγιοφόρῳ, τῇ οὔσῃ ἐν Σμύρνῃ τῆς Ἀσίας, ἐν ἀμώμῳ πνεύματι, [καὶ] λόγῳ Θεοῦ, πλεῖστα χαίρειν.

ΔΟξάζω Ἰησοῦν Χριστὸν τὸν Θεὸν τὸν οὕτως ὑμᾶς σοφίσαντα. ἐνόησα γὰρ ὑμᾶς κατηρτισμένους ἐν ἀκινήτῳ πίστει, ὥσπερ καθηλωμένους ἐν τῷ σταυρῷ τοῦ κυρίου Ἰησοῦ Χριστοῦ, σαρκί τε καὶ πνεύματι, καὶ ἑδρασμένους ἐν ἀγάπῃ ἐν τῷ αἵματι Χριστοῦ, πεπληροφορημένους εἰς τὸν κύριον ἡμῶν, ἀληθῶς ὄντα ἐκ γένους Δαβὶδ κατὰ σάρκα, υἱὸν Θεοῦ, κατὰ θέλημα καὶ δύναμιν Θεοῦ γεγενημένον ἀληθῶς ἐκ παρθένου, βεβαπτισμένον ὑπὸ Ἰωάννου, ἵνα πληρωθῇ πᾶσα δικαιοσύνη ὑπ᾽ αὐτοῦ. ἀληθῶς ἐπὶ Ποντίου Πιλάτου καὶ Ἡρώδου τετράρχου καθηλωμένον ὑπὲρ ἡμῶν ἐν σαρκί. ἀφ᾽ οὗ καρποῦ ἡμεῖς ἀπὸ τοῦ θεομακαρίου αὐτοῦ πάθους, ἵνα ἄρῃ σύσσημον εἰς τοὺς αἰῶνας, διὰ τῆς ἀναστάσεως, εἰς τοὺς ἁγίους καὶ πιστοὺς αὐτοῦ, εἴτε ἐν Ἰουδαίοις, εἴτε ἐν ἔθνεσιν, ἐν ἑνὶ σώματι τῆς ἐκκλησίας αὐτοῦ.

Ταῦτα γὰρ πάντα ἔπαθεν δι᾽ ἡμᾶς, ἵνα σωθῶμεν. Καὶ ἀληθῶς ἔπαθεν, ὡς καὶ ἀληθῶς ἀνέστησεν ἑαυτόν, οὐχ᾽ ὥσπερ ἄπιστοί τινες λέγουσιν τὸ δοκεῖν αὐτὸν πεπονθέναι,

αὐτοὶ τὸ δοκεῖν ὄντες, καὶ καθὼς φρονοῦσιν καὶ συμβήσεται αὐτοῖς, οὖσιν ἀσωμάτοις καὶ δαιμονικοῖς.

Ἐγὼ γὰρ καὶ μετὰ τὴν ἀνάστασιν ἐν σαρκὶ αὐτὸν οἶδα, καὶ πιστεύω ὄντα. Καὶ ὅτε πρὸς τοὺς περὶ Πέτρον ἦλθεν, ἔφη αὐτοῖς, Λάβετε, ψηλαφήσατέ με, καὶ ἴδετε, ὅτι οὐκ εἰμὶ δαιμόνιον ἀσώματον. Καὶ εὐθὺς αὐτοῦ ἥψαντο, καὶ ἐπίστευσαν, κρατηθέντες τῇ σαρκὶ αὐτοῦ καὶ τῷ πνεύματι. Διὰ τοῦτο καὶ θανάτου κατεφρόνησαν, ηὑρέθησαν δὲ ὑπὲρ θάνατον. Μετὰ δὲ τὴν ἀνάστασιν συνέφαγεν αὐτοῖς καὶ συνέπιεν ὡς σαρκικὸς, καίπερ πνευματικῶς ἡνωμένος τῷ πατρί.

Ταῦτα δὲ παραινῶ ὑμῖν, ἀγαπητοί, εἰδὼς ὅτι καὶ ὑμεῖς οὕτως ἔχετε. Προφυλάσσω δὲ ὑμᾶς ἀπὸ τῶν θηρίων τῶν ἀνθρωπομόρφων, οὓς οὐ μόνον δεῖ ὑμᾶς μὴ παραδέχεσθαι, ἀλλ' εἰ δυνατόν ἐστι μηδὲ συναντᾶν. μόνον δὲ προσεύχεσθαι ὑπὲρ αὐτῶν, ἐάν πως μετανοήσωσιν, ὅπερ δύσκολον. Τούτου δὲ ἔχει ἐξουσίαν Ἰησοῦς Χριστὸς, τὸ ἀληθινὸν ἡμῶν ζῆν. Εἰ γὰρ τὸ δοκεῖν ταῦτα ἐπράχθη ὑπὸ τοῦ κυρίου ἡμῶν, κἀγὼ τὸ δοκεῖν δέδεμαι. τί δὲ καὶ ἐμαυτὸν ἔκδοτον δέδωκα τῷ θανάτῳ, πρὸς πῦρ, πρὸς μάχαιραν, πρὸς θηρία; Ἀλλ' ἐγγὺς μαχαίρας ἐγγὺς Θεοῦ, μεταξὺ θηρίων μεταξὺ Θεοῦ. μόνον ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, εἰς τὸ συμπαθεῖν αὐτῷ, πάντα ὑπομένω, αὐτοῦ με ἐνδυνα-

passum esse (ipsi secundùm apparentiam existentes:) & quemadmodum sapiunt, sic & continget eis; ut phantastici sint & dæmoniaci.

Ego enim & post resurrectionem eum in carne fuisse novi, & credo esse. Et quando ad eos qui cum *Petro* erant venit, inquit ipsis: *Apprehendite, palpate me, & videte, quod non sum dæmonium incorporale.* Et confestim ipsum tetigerunt, & crediderunt, convicti carne ipsius & spiritu. Propter hoc & mortem contempserunt; quin & supra mortem inventi sunt. Post resurrectionem autem cum illis comedit & bibit, ut carnalis; quamvis spiritualiter unitus Patri.

De his autem admoneo vos, charissimi, certus etiam vos ita habere. Sed præmunio vos contra feras humanam formam præ se ferentes: quos non solùm oportet vos non recipere, sed, si possibile, neque obviam eis fieri; solùm verò pro ipsis orare, si quo modo ad pœnitentiam convertantur, quod admodùm difficile est. Hujus autem potestatem habet *Iesus Christus*, vera nostra vita. Si enim opinione solâ hæc à Domino nostro sunt peracta; & ego opinione solùm vinctus sum. Quid verò & meipsum morti dedititium tradidi, ad ignem, ad gladium, ad bestias? Sed qui prope gladium, prope Deum est: qui præsens est cum bestiis, præsens est cum Deo; Tantùm in nomine *Iesu Christi*, ut simul cum illo patiar, omnia sustineo:

sustineo: ipso me roborante, qui perfectus homo factus est.

Quem quidam ignorantes, abnegant, magis autem abnegati sunt ab ipso; patroni mortis magis, quàm veritatis. Quibus nec Prophetiæ persuasere, nec Mosaica lex, sed nec ipsum Euangelium in hunc usque diem, neque nostræ, quæ in hominem cadunt, passiones. Nam & de nobis id ipsum sentiunt. Quid enim mihi prodest si quis me laudet, & Dominum meum blasphemet, non confitens ipsum esse carne vestitum? Qui verò id non dicit, prorsùs eum negavit, ipse cadaver gestans. Nomina verò eorum, cùm sint infidelia, non visum est mihi scribere: sed & absit à me, ut eorum mentionem faciam, donec resipiscant in passionem, quæ est nostra resurrectio.

Nemo erret. Et supercœlestia, & gloria Angelorum, & Principes visibiles & invisibiles, si non credant in sanguinem Christi; & illis judicium est. Qui capit capiat. Locus neminem efferat. Totum namque est fides & charitas: quibus nihil prælatum est. Considerate verò eos qui alienam opinionem tuentur, contra gratiam *Iesu Christi* quæ in nos venit, quomodo contrarii sint sententiæ Dei. De charitate non est cura ipsis, non de viduâ, non de orphano, non de oppresso, non de vincto vel soluto, non de esuriente vel sitiente.

Ab Eucharistiâ & Oratione abstinent; eo quòd non confite-

μοῦντος τοῦ τελείου ἀνθρώπου γενομένου.

Ὅν τινὲς ἀγνοοῦντες ἀρνοῦνται, μᾶλλον δὲ ἠρνήθησαν ὑπ᾽ αὐτοῦ, ὄντες συνήγοροι τοῦ θανάτου μᾶλλον ἢ τῆς ἀληθείας. οὓς οὐκ ἔπεισαν αἱ προφητεῖαι, οὐδ᾽ ὁ νόμος Μωσέως, ἀλλ᾽ οὐδὲ μέχρι νῦν τὸ εὐαγγέλιον, οὐδὲ τὰ ἡμέτερα τῶν κατ᾽ ἄνδρα παθήματα. Καὶ γὰρ περὶ ἡμῶν τὸ αὐτὸ φρονοῦσιν. Τί γάρ με ὠφελεῖ τις, εἰ ἐμὲ ἐπαινεῖ, τὸν δὲ κύριον μου βλασφημεῖ, μὴ ὁμολογῶν αὐτὸν σαρκοφόρον; Ὁ δὲ τοῦτο μὴ λέγων, τελείως αὐτὸν ἀπήρνηται ὢν νεκροφόρος. Τὰ δὲ ὀνόματα αὐτῶν ὄντα ἄπιστα οὐκ ἔδοξέ μοι ἐγγράψαι. Ἀλλὰ μηδὲ γένοιτό μοι αὐτῶν μνημονεύειν, μέχρις οὗ μετανοήσωσιν εἰς τὸ πάθος, ὅ ἐστιν ἡμῶν ἀνάστασις.

Μηδεὶς πλανάσθω. Καὶ τὰ ἐπουράνια, καὶ ἡ δόξα τῶν ἀγγέλων, καὶ οἱ ἄρχοντες ὁρατοί τε καὶ ἀόρατοι, ἐὰν μὴ πιστεύσωσιν εἰς τὸ αἷμα Χριστοῦ, κἀκείνοις κρίσις ἐστίν. ὁ χωρῶν χωρείτω. τόπος μηδένα φυσιούτω. τὸ γὰρ ὅλον ἐστὶ πίστις καὶ ἀγάπη, ὧν οὐδὲν προκέκριται. Καταμάθετε δὲ τοὺς ἑτεροδοξοῦντας εἰς τὴν χάριν Ἰησοῦ Χριστοῦ τὴν εἰς ἡμᾶς ἐλθοῦσαν, πῶς ἐναντίοι εἰσὶν τῇ γνώμῃ τοῦ Θεοῦ. περὶ ἀγάπης οὐ μέλει αὐτοῖς, οὐ περὶ χήρας, οὐ περὶ ὀρφανοῦ, οὐ περὶ θλιβομένου, οὐ περὶ δεδεμένου ἢ λελυμένου, οὐ περὶ πεινῶντος ἢ διψῶντος.

Εὐχαριστίας καὶ προσευχῆς ἀπέχονται, διὰ τὸ μὴ ὁμολογεῖν τὴν

εὐχαριστίαν σάρκα εἶναι τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τὴν ὑπὲρ ἁμαρτιῶν ἡμῶν παθοῦσαν, ἣν τῇ χρηστότητι ὁ πατὴρ ἤγειρεν. Οἱ οὖν ἀντιλέγοντες τῇ δωρεᾷ τοῦ Θεοῦ συζητοῦντες ἀποθνήσκουσι. Συνέφερεν δὲ αὐτοῖς ἀγαπᾶν, ἵνα καὶ ἀναστῶσιν. Πρέπον οὖν ἐστὶν ἀπέχεσθαι τῶν τοιούτων, καὶ μήτε κατ᾽ ἰδίαν περὶ αὐτῶν λαλεῖν, μήτε κοινῇ· προσέχειν δὲ τοῖς προφήταις, ἐξαιρέτως δὲ τῷ εὐαγγελίῳ, ἐν ᾧ τὸ πάθος ἡμῖν δεδήλωται, καὶ ἡ ἀνάστασις τετελείωται. Τοὺς δὲ μερισμοὺς φεύγετε, ὡς ἀρχὴν κακῶν.

Πάντες τῷ ἐπισκόπῳ ἀκολουθεῖτε, ὡς Ἰησοῦς Χριστὸς τῷ πατρί· καὶ τῷ πρεσβυτερίῳ ὡς τοῖς ἀποστόλοις. τοὺς δὲ διακόνους ἐντρέπεσθε ὡς Θεοῦ ἐντολήν. Μηδεὶς χωρὶς τοῦ ἐπισκόπου τι πρασσέτω τῶν ἀνηκόντων εἰς τὴν ἐκκλησίαν. Ἐκείνη βεβαία εὐχαριστία ἡγείσθω, ἡ ὑπὸ τὸν ἐπίσκοπον οὖσα, ἢ ᾧ ἂν αὐτὸς ἐπιτρέψῃ. Ὅπου ἂν φανῇ ὁ ἐπίσκοπος, ἐκεῖ τὸ πλῆθος ἔστω· ὥσπερ ὅπου ἂν ᾖ Χριστὸς Ἰησοῦς, ἐκεῖ ἡ καθολικὴ ἐκκλησία. Οὐκ ἐξόν ἐστιν χωρὶς τοῦ ἐπισκόπου, οὔτε βαπτίζειν, οὔτε ἀγάπην ποιεῖν, ἀλλ᾽ ὃ ἂν ἐκεῖνος δοκιμάσῃ, τοῦτο καὶ τῷ Θεῷ εὐάρεστον, ἵνα ἀσφαλὲς ᾖ καὶ βέβαιον πᾶν ὃ πράσσεται.

Εὔλογόν ἐστιν λοιπὸν ἀνανῆψαι, καὶ ὡς ἔτι καιρὸν ἔχομεν εἰς Θεὸν μετανοεῖν. Καλῶς ἔχει, Θεὸν καὶ ἐπίσκοπον εἰδέναι. ὁ τιμῶν ἐπίσκοπον, ὑπὸ Θεοῦ τετίμηται. Ὁ λάθρᾳ ἐπισκόπου τι πράσσων, τῷ διαβόλῳ

antur Euchariſtiam carnem eſſe ſervatoris noſtri *Ieſu Christi*, quæ pro peccatis noſtris paſſa eſt, quam Pater ſuâ benignitate ſuſcitavit. Contradicentes ergo huic dono Dei, altercantes moriuntur. Utile autem eſſet ipſis diligere, ut reſurgant. Decet itaque abſtinere ab ejuſmodi, nec in privato, nec in communi colloquio de illis verba facere; attendere autem Prophetis præcipuè autem Euangelio, in quo paſſio nobis oſtenſa & reſurrectio perfecta eſt. Diviſiones autem fugite, ut principium malorum.

Omnes Epiſcopum ſequimini, ut *Ieſus Christus* Patrem; & Preſbyterium, ut Apoſtolos: Diaconos autem revereamini, ut Dei mandatum. Sine Epiſcopo nemo quicquam faciat eorum quæ ad Eccleſiam ſpectant. Rata Euchariſtia habeatur illa, quæ ſub Epiſcopo fuerit, vel cui ipſe conceſſerit. Ubi comparuerit Epiſcopus, ibi & multitudo ſit; quemadmodum ubi *Christus Ieſus*, ibi Catholica eſt Eccleſia. Non licet ſine Epiſcopo baptizare, neque Agapen celebrare; ſed quodcunque ille probaverit, hoc & Deo eſt beneplacitum: ut tutum & ratum ſit quodcunque agitur.

Conſentaneum eſt nos deinceps reſipiſcere &, dum adhuc tempus habemus, ad Deum per pœnitentiam redire. Bene habet, Deum & Epiſcopum reſpicere. Qui honorat Epiſcopum, à Deo honoratus eſt: qui clam Epiſcopo aliquid agit, Diabolo præſtat obſequium

ſequium. Omnia igitur vobis in gratiâ abundent: digni enim eſtis. Omni modo me recreâſtis; ut & vos *Ieſus Chriſtus:* abſentem me & præſentem dilexiſtis; retribuat vobis Deus, propter quem omnia ſuſtinentes, ipſum adipiſcemur.

Quòd *Philonem*, & *Rheum*, & *Agathopodem*, qui me ſecuti ſunt ad prædicationem verbi Dei, ut *Chriſti* Dei miniſtros exceperitis, bene feciſtis: qui & Deo pro vobis gratias agunt, quòd omnibus modis illos refeceritis. Nihil vobis utique deperibit. Vice animarum veſtrarum ſpiritus meus ſit, & vincula mea, quæ non faſtidiſtis, nec ob ea erubuiſtis: nec de vobis erubeſcet perfecta fides *Ieſus Chriſtus*.

Oratio veſtra pervenit ad Ecclesiam *Antiochenam* quæ eſt in *Syriâ*: unde, Deo decoris ligatus vinculis, omnes ſaluto; qui inde exiſtere non ſum dignus, cûm extremus ſim eorum qui ibi ſunt. Sed [Dei] voluntate dignus effectus ſum; non juxta conſcientiam [meam,] ſed ex gratiâ Dei, quam opto perfectam mihi dari, ut per orationem veſtram Deum aſſequar. Ut itaque opus veſtrum abſolutum ſit & ſuper terram & in cœlo, decet ad Dei honorem ut Eccleſia veſtra eligat Sacrum Legatum; ut, cùm ad *Syriam* uſque pervenerit, congratule-

λατρεύειν. Πάντα οὖν ὑμῖν ἐν χάριτι περισσευέτω, ἄξιοι γάρ ἐστέ. Κατὰ πάντα με ἀνεπαύσατε, καὶ ὑμᾶς Ἰησοῦς Χριστός. Ἀπόντα με καὶ παρόντα ἠγαπήσατε. Ἀμείβοι ὑμῖν Θεὸς, δι' ὃν πάντα ὑπομένοντες αὐτοῦ τεύξεσθε.

Φίλωνα, καὶ Ῥέον, καὶ Ἀγαθόποδα, οἳ ἐπηκολούθησάν μοι εἰς λόγον Θεοῦ, καλῶς ἐποιήσατε ὑποδεξάμενοι ὡς διακόνους Χριστοῦ Θεοῦ. οἳ καὶ εὐχαριστοῦσιν τῷ κυρίῳ ὑπὲρ ὑμῶν, ὅτι αὐτοὺς ἀνεπαύσατε κατὰ πάντα τρόπον. οὐδὲν ὑμῖν οὐ μὴ ἀπολεῖται. Ἀντίψυχον ὑμῶν τὸ πνεῦμά μου, καὶ τὰ δεσμά μου, ἃ οὐχ ὑπερηφανήσατε οὐδὲ ἐπαισχύνθητε, οὐδὲ ὑμᾶς ἐπαισχυνθήσεται ἡ τελεία πίστις Ἰησοῦς Χριστός.

Ἡ προσευχὴ ὑμῶν ἀπῆλθεν ἐπὶ τὴν ἐκκλησίαν τὴν ἐν Ἀντιοχείᾳ τῆς Συρίας. ὅθεν δεδεμένος θεοπρεπεστάτοις δεσμοῖς πάντας ἀσπάζομαι, οὐκ ὢν ἄξιος ἐκεῖθεν εἶναι, ἔσχατος αὐτῶν ὤν, κατὰ θέλημα δὲ κατηξιώθην, οὐκ ἐκ συνειδότος, [ἀλλ'] ἐκ χάριτος Θεοῦ, ἣν εὔχομαι τελείαν μοι δοθῆναι, ἵνα ἐν τῇ προσευχῇ ὑμῶν Θεοῦ ἐπιτύχω. Ἵνα οὖν τέλειον ὑμῶν γένηται τὸ ἔργον καὶ ἐπὶ γῆς, καὶ ἐν οὐρανῷ, πρέπει εἰς τιμὴν Θεοῦ χειροτονῆσαι τὴν ἐκκλησίαν ὑμῶν [a] θεοπρεπστάτην, εἰς τὸ γενόμενον ἕως Συρίας, συγχαρῆναι αὐτοῖς ὅτι εἰρηνεύουσιν,

[a] al. θεοπρεσβύτην.

νεύουσιν, καὶ ἀπέλαβον τὸ ἴδιον μέγεθος, καὶ ἀποκατεστάθη αὐτοῖς τὸ ἴδιον σωματεῖον. ἐφάνη μοι ἄξιον πρᾶγμα, πέμψαι τινὰ τῶν ὑμετέρων μετ' ἐπιστολῆς, ἵνα συνδοξάσῃ τὴν κατὰ Θεὸν αὐτοῖς γενομένην εὐδίαν, καὶ ὅτι λιμένος ἤδη ἐτύγχανεν τῇ προσευχῇ ὑμῶν. Τέλειοι ὄντες τέλεια καὶ φρονεῖτε. Θέλουσι γὰρ ὑμῖν εὐπράσσειν, Θεὸς ἕτοιμος εἰς τὸ παρασχεῖν.

Ἀσπάζεται ὑμᾶς ἡ ἀγάπη τῶν ἀδελφῶν τῶν ἐν Τρωάδι, ὅθεν καὶ γράφω ὑμῖν διὰ Βούρρου, ὃν ἀπεστείλατε μετ' ἐμοῦ ἅμα Ἐφεσίοις τοῖς ἀδελφοῖς ὑμῶν, [b] ὅτι κατὰ πάντα με ἀνέπαυσεν. Καὶ ὄφελον πάντες αὐτὸν ἐμιμοῦντο, ὄντα ἐξεμπλάριον Θεοῦ διακονίας. Ἀμείψεται αὐτὸν ἡ χάρις κατὰ πάντα. Ἀσπάζομαι τὸν ἀξιόθεον ἐπίσκοπον, καὶ θεοπρεπέστατον πρεσβυτέριον, τοὺς συνδούλους μου διακόνους, καὶ τοὺς κατ' ἄνδρα καὶ κοινῇ πάντας ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ, καὶ τῇ σαρκὶ αὐτοῦ καὶ τῷ αἵματι, πάθει τε καὶ ἀναστάσει, σαρκικῇ τε καὶ πνευματικῇ, [c] ἐν ἑνότητι Θεοῦ καὶ ὑμῶν. Χάρις ὑμῖν, ἔλεος, εἰρήνη, ὑπομονὴ διὰ παντός.

Ἀσπάζομαι τοὺς οἴκους τῶν ἀδελφῶν μου σὺν γυναιξὶ καὶ τέκνοις, καὶ [d] τὰς παρθένους τὰς λεγομένας χήρας. Ἔρρωσθέ μοι ἐν δυνάμει πνεύματος. Ἀσπάζεται ὑμᾶς Φίλων σὺν ἐμοὶ ὤν. Ἀσπάζομαι τὸν οἶκον

al. ὃς

c γρ. ἐν ὀνόματι, ἐν ἑνότητι

d Vid. notas Vossii.

tur illis quòd pacem consecutæ sint, & suam receperint magnitudinem, & restitutum sit illis suum corpusculum. Digna etenim mihi res est visa, ut aliquem vestrûm mittatis cum epistolâ: ut unà cum illis glorificet Deum, de tranquillitate quam in Deo consecuti sunt; & quòd portu jam potiti sunt per orationem vestram. Cùm perfecti sitis, perfecta sentite. Cupientibus enim vobis bene facere, Deus idem largiri paratus est.

Salutat vos charitas fratrum quæ est *Troade*; unde & scribo vobis per *Burrhum*, quem misistis mecum unà cum *Ephesiis* fratribus vestris, qui omni modo me refocillavit: & utinam omnes illum imitentur, qui est exemplar divini ministerii. Remuneret ipsum gratia per omnia. Saluto Deo dignum Episcopum, & Deo decorum Presbyterium, & conservos meos Diaconos, & sigillatim & in universum omnes; in nomine *Iesu Christi*, & carne ipsius, & sanguine, & passione, & resurrectione corporali simul & spirituali, in unitate Dei & vestrâ. Gratia vobis, misericordia, pax, patientia, semper sit.

Saluto familias fratrum meorum, cum uxoribus & liberis; & virgines vocatas viduas. Incolumes in virtute spiritus este mihi. Salutat vos *Philo*, qui mecum est. Saluto familiam

Tavia;

Taviæ; quam opto solidari fide & charitate corporali & spirituali. Saluto *Alcen* desiderabile mihi nomen, & *Daphnum* incomparabilem, & *Eutecnum*, & omnes nominatim. Valete in gratiâ Dei.

Ταυΐας, ἣν εὔχομαι ἑδρᾶσθαι πίστει καὶ ἀγάπῃ σαρκικῇ τε καὶ πνευματικῇ. Ἀσπάζομαι Ἄλκην τὸ ποθητόν μοι ὄνομα, [καὶ Δάφνον τὸν ἀσύγκριτον, καὶ Εὔτεκνον, καὶ πάντας κατ' ὄνομα.] Ἔρρωσθε ἐν χάριτι Θεοῦ.

Σμυρναίοις, ἀπὸ Τρωάδος.

FINIS.
